




Mr. F. Ponsonby.


1817
ARTES
VERITAS
SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUÆRIS PENINSULAM AMŒNAM
CIRCUMSPICE

Anacreon.

ANACREONTICA

GRAECE

RECENSUIT NOTISQUE CRITICIS

INSTRUXIT


FRIDERICUS HENRICUS BOTHE

MAGDEBURGENSIS

LIPSIAE

IN LIBRARIA WEIDMANNIA

1805.



PRAEFATIO EDITORIS.

Cum neglecta et horrida iacere mihi viderentur carmina Graecorum, quae vocantur Anacreontea, utpote quorum artificium, non imbecillitate ingenii, sed socordia, nemo adhuc perspectum habuisset declarassetque, ipse hanc cepi provinciam, eliminatisque nonnullis interpretamentis, itemque pro virili restitutis, quae interdum obscuratae deprehendebantur, orationis fide atque elegantia, id inprimis curavi, ut certis

ubique regulis adstringerentur versus illi, quos politicis annumerare quidam non dubitaverunt. Anacreonticis autem odariis, Brunckii exemplum secutus, addidi alia similis argumenti poëmata, quae aut emendata ad nos pervenissent, aut satis bene restituta, tum ab aliis, tum a memetipso, viderentur. Scribebam Berolini, mense Sept. 1804.

ΑΝΑΚΡΕΟΝΤΕΙΑ.

ΕΙΣ ΛΥΡΑΝ.

Θέλω λέγειν Ἀτρείδας·
Θέλω δὲ Κάδμον ᾄδειν·
Ἁ βάρβιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
Ἤμειψα νεῦρα πρώην,
Καὶ τὴν λύρην ἅπασαν·
Κᾀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους, λύρη δὲ
Ἔρωτας ἀντεφώνει.
Χαίροιτε λοιπὸν ἡμῖν,
Ἥρωες· ἡ λύρη γὰρ
Μόνους Ἔρωτας ᾄδει.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

Φύσις κέρατα ταύροις,
Ὁπλὰς δ' ἔδωκεν ἵπποις,
Ποδωκίην λαγωοῖς,
Λέουσι χάσμ' ὀδόντων,
Τοῖς ἰχθύσιν τὸ νηκτὸν,
Τοῖς ὀρνέοις πέτασθαι,
Τοῖς ἀνδράσι φρόνημα·
Γυναιξὶν οὐκ ἔτ' εἶχεν.
Τί οὖν δίδωσι; κάλλος
Ἀντ' ἀσπίδων ἁπασῶν,
Ἀντ' ἐγχέων ἁπάντων·
Νικᾷ δὲ καὶ σίδηρον,
Καὶ πῦρ καλή τις οὖσα.

ΕΙΣ ΕΡΩΤΑ.

Μεσονυκτίοις ποθ' ὥραις,
Στρέφεται ὅτ' Ἄρκτος ἤδη
Κατὰ χεῖρα τὴν Βοώτου,
Μερόπων δὲ φῦλα πάντα
Κέαται, κόπῳ δαμέντα,
Τότ' Ἔρως ἐπιςαθείς μευ
Θυρέων ἔκοπτ' ὀχῆας.
Τίς, ἔφην, θύρας ἀράσσει;
Κατὰ μευ σχίσεις ὀνείρους.
Ὁ δ' Ἔρως, ἄνοιγε, φησί·
Βρέφος εἰμὶ, μὴ φόβησαι,
Βρέχομαι δὲ, κἀσέληνον
Κατὰ νύκτα πεπλάνημαι.
Ἐλέησα ταῦτ' ἀκούσας,
Ἀνὰ δ' εὐθὺ λύχνον ἅψας
Ἀνέῳξα, καὶ βρέφος μὲν
Ἐσορῶ, φέροντα τόξον

Πτέρυγάς τε καὶ Φαρέτρην.
Παρὰ δ' ἱςίην καθίξας,
Παλάμαισι χεῖρας αὐτοῦ
᾿Ανέθαλπον, ἐκ δὲ χαίτης
᾿Απέθλιβον ὑγρὸν ὕδωρ.
῾Ο δ', ἐπεὶ κρύος μεθῆκε,
Φέρε, Φησὶ, πειράσωμεν
Τόδε τόξον, ἐς τί μοὶ νῦν
Βλάβεται βραχεῖσα νευρή!
Τανύει δὲ καί με τύπτει
Μέσον ἧπαρ, ὥςπερ οἶςρος,
᾿Ανὰ δ' ἅλλεται καχάζων,
Ξένε, δ' εἶπε, συγχάρηθι·
Κέρας ἀβλαβὲς μέν ἐςι,
Σὺ δὲ καρδίην πονήσεις.

ΕΙΣ ΕΑΥΤΟΝ.

Ἐπὶ μυρσίναις τερείναις,
Ἐπὶ λωτίναις δὲ ποίαις
Στορέσας θέλω προπίνειν·
Ὁ δ' Ἔρως, χιτῶνα δήσας
Ὑπὲρ αὐχένος παπύρῳ,
Μέθυ μοι διακονείτω.
Τρόχος ἅρματος γὰρ οἷα
Βίοτος τρέχει κυλισθεὶς,
Ὀλίγη δὲ κεισόμεσθα
Κόνις, ὀςέων λυθέντων.
Τί σὲ δεῖ λίθον μυρίζειν;
Τί δὲ γῇ χέειν μάταια;
Ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
Μύρισον, ῥόδοις δὲ κρᾶτα
Πύκασον, κάλει δ' ἑταίρην.
Πρὶν Ἔρωσι δεῖ μ' ἀπελθεῖν
Ὑπὸ νερτέρων χορείας,
Σκεδάσαι θέλω μερίμνας.

ΕΙΣ ΡΟΔΟΝ.

Τὸ ῥόδον τὸ τῶν Ἐρώτων
Μίξωμεν Διονύσῳ!
Τὸ ῥόδον τὸ καλλίφυλλον
Κροτάφοισιν ἁρμόσαντες,
Πίνωμεν, ἁβρὰ γελῶντες!
Ῥόδον φέριςον ἄνθος,
Ῥόδον εἴαρος μέλημα·
Ῥόδα καὶ θεοῖσι τερπνά·
Ῥόδα, τοῖς ὁ παῖς Κυθήρης
Στέφεται καλοὺς ἰούλους,
Χαρίτεσσι συγχορεύων.
Στέψον με, καὶ λύριζον!
Παρὰ σοῖς, Διόνυσε, σηκοῖς,
Μετὰ κούρης βαθυκόλπου,
Ῥοδίνοισι ςεφανίσκοις
Πεπυκασμένος, χορεύσω.

ΚΩΜΟΣ.

Στεφάνους μὲν κροτάφοισι
Ῥοδίνους συναρμόσαντες,
Μεθύομεν ἁβρὰ γελῶντες·
Ὑπὸ βαρβίτῳ δὲ κούρα
Κατακίσσοισι βρέμοντας
Πλοκάμοις φέρουσα θύρσους,
Χλιδανόσφυρος χορεύει·
Ἁβροχαίτας δ' ἅμα κοῦρος,
Στομάτων ἁδὺ πνεόντων,
Κατὰ πηκτίδων ἀθύρων
Προχέει λίγειαν ὀμφάν·
Ὁ δ' Ἔρως ὁ χρυσοχαίτας,
Μετὰ τοῦ καλοῦ Λυαίου,
Μετὰ τῆς καλῆς Κυθήρης,
Τὸν ἐπήρατον γεραιοῖς
Κῶμον μέτεισι χαίρων.

ΕΙΣ ΕΡΩΤΑ.

Ὑακινθίνῃ με ῥάβδῳ
Χαλεπῶς Ἔρως ῥαπίζων,
Ἐκέλευε συντροχάζειν.
Διὰ δ' ὀξέων μ' ἀναύρων,
Ξυλόχων τε καὶ Φαράγγων
Τροχάοντα τεῖρεν ἱδρὼς,
Κραδίη δὲ ῥινὸς ἄχρις
Ἀνέβαινε, κἂν ἀπέσβην.
Ὁ δ' Ἔρως, μέτωπα σαίνων
Ἁπαλοῖς πτεροῖσιν, εἶπε,
Σὺ γὰρ οὐ δύνῃ φιλῆσαι.

ΕΙΣ ΤΟΝ ΕΑΥΤΟΥ ΟΝΕΙΡΟΝ.

Διὰ νυκτὸς ἐγκαθεύδων
Ἁλιπορφύροις τάπησι,
Γεγανυμένος Λυαίῳ
Ἐδόκουν ἄκροισι ταρσοῖς
Δρόμον ὠκὺν ἐκτανύειν,
Μετὰ παρθένων ἀθύρων.
Ἐπεκερτόμουν δὲ παῖδες
Ἁπαλώτεροι Λυαίου,
Δακέθυμά μοι λέγοντες
Διὰ τὰς καλὰς ἐκείνας.
Ἐθέλοντα δ' ἕνα φιλῆσαι
Φύγον ἐξ ὕπνου με πάντες·
Μεμονωμένος δ' ὁ τλήμων
Πάλιν ἤθελον καθεύδειν.

ΕΙΣ ΠΕΡΙΣΤΕΡΑΝ.

Ἐρασμίη πέλεια,
Πόθεν, πόθεν πέτασσαι;
Πόθεν μύρων τοσούτων,
Ἐπ' ἠέρος θέουσα,
Πνέεις τε καὶ ψεκάζεις;
Τίς εἶ; τί σοι μέλει δέ;
Ἀνακρέων μ' ἔπεμψε
Πρὸς παῖδα, πρὸς Βάθυλλον,
Τὸν ἄρτι τῶν ἁπάντων
Κρατοῦντα καὶ τύραννον.
Πέπρακέ μ' ἡ Κυθήρη,
Λαβοῦσα μικρὸν ὕμνον·
Ἐγὼ δ' Ἀνακρέοντι
Διακονῶ τοσαῦτα·
Καὶ νῦν, ὁρᾷς, ἐκείνου
Ἐπιςολὰς κομίζω.
Καί φησιν εὐθέως με
Ἐλευθέρην ποιήσειν·

Ἐγὼ δὲ, κὴν ἀφῇ με,
Δούλη μενῶ παρ' αὐτῷ·
Τί γάρ με δεῖ πέτασθαι
Ὄρη τε καὶ κατ' ἀγροὺς,
Καὶ δένδρεσιν καθίζειν,
Φαγοῦσαν ἄγριόν τι;
Τανῦν ἔδω μὲν ἄρτον,
Ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ·
Πιεῖν δέ μοι δίδωσι
Τὸν οἶνον ὃν προπίνει.
Πιοῦσα δ' ἂν χορεύω,
Καὶ δεσπότην ἐμοῖσι
Πτεροῖσι συσκιάζω,
Κοιμωμένη δ' ἐπ' αὐτῷ
Τῷ βαρβίτῳ καθεύδω.
Ἔχεις ἅπαντ'· ἄπελθε.
Λαλιςέραν μ' ἔθηκας,
Ἄνθρωπε, καὶ κορώνης.

ΕΙΣ ΕΡΩΤΑ ΚΗΡΙΝΟΝ.

Ἔρωτα κήρινόν τις
Νεηνίης ἐπώλει·
Ἐγὼ δὲ τῷ παραςὰς,
Πόσου θέλεις, ἔφην, σοὶ
Τὸ τυχθὲν ἐκπρίωμαι;
Ὁ δ' εἶπε δωριάζων,
Λάβ' αὐτὸν ὁππόσου λῇς·
Ὅμως ἴν' ἐκμάθῃς νιν,
Οὐκ εἰμὶ καροτέχνας,
Ἀλλ' οὔ τι λῶ συνοικῆν
Ἔρωτι παντορέκτᾳ.
Δὸς οὖν, δὸς, αὐτὸν ἡμῖν
Δραχμῆς, καλὸν σύνευνον.
Ἔρως, σὺ δ' εὐθέως με
Πύρωσον· εἰ δὲ μὴ, σὺ
Κατὰ φλογὸς τακήσῃ.

ΕΙΣ ΕΑΥΤΟΝ.

Λέγουσιν αἱ γυναῖκες,
Ἀνακρέων, γέρων εἶ·
Λαβὼν ἔσοπτρον ἄθρει
Κόμας μὲν οὐκέτ' οὔσας,
Ψιλὸν δέ σευ μέτωπον!
Ἐγὼ δὲ τὰς κόμας μὲν
Εἴτ' εἰσὶν, εἴτ' ἀπῆλθον,
Οὐκ οἶδα, τοῦτο δ' οἶδα,
Ὡς τῷ γέροντι μᾶλλον
Πρέπει τὸ τερπνὰ παίζειν,
Ὅσῳ πέλας τὰ Μοίρης.

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Τί σοι θέλεις ποιήσω,
Τί, κωτίλη χελιδών;
Τὰ ταρσά σευ τὰ κοῦφα
Θέλεις λαβὼν ψαλίξω;
Ἢ μᾶλλον ἔνδοθέν σευ
Τὴν γλῶσσαν, ὡς ὁ Τηρεὺς
Ἐκεῖνος, ἐκθερίξω;
Τί μευ καλῶν ὀνείρων
Ὑπορθρίαισι φωναῖς
Ἀφήρπασας Βάθυλλον;

ΕΙΣ ΕΑΥΤΟΝ.

Οἱ μὲν καλὴν Κυβήβην
Τὸν ἡμίθηλυν Ἄττιν
Ἐν οὔρεσιν βοῶσαν
Λέγουσιν ἐκμανῆναι·
Οἱ δὲ Κλάρου παρ' ὄχθαις
ΔαφνηΦόροιο Φοίβου
Λάλον πιόντες ὕδωρ
Μεμηνότες βοῶσιν·
Ἐγὼ δὲ τοῦ Λυαίου,
Καὶ τοῦ μύρου κορεσθεὶς,
Θέλω, θέλω μανῆναι.

ΕΙΣ ΕΡΩΤΑ.

Θέλω, θέλω φιλῆσαι.
Ἐπεὶθ' Ἔρως φιλεῖν με,
Ἐγὼ δ', ἔχων νόημα
Ἄβουλον, οὐκ ἐπείσθην·
Ὁ δ', εὐθὺ τόξον ἄρας
Καὶ χρυσέην φαρέτρην,
Μάχῃ με προὐκαλεῖτο·
Κἀγὼ λαβὼν ἐπ' ὤμων
Θώρηχ', ὅπως Ἀχιλλεὺς,
Καὶ δοῦρα καὶ βοείην,
Ἐμαρνάμην Ἔρωτι.
Ἔβαλλ', ἐγὼ δ' ἔφευγον·
Ὡς δ' οὐκ ἔτ' εἶχ' ὀϊςοὺς,
Ἤσχαλλεν, εἶθ' ἑαυτὸν
Ἀφῆκεν εἰς βέλεμνον·
Μέσος δὲ καρδίης μευ
Ἔδυνε, καί μ' ἔλυσε.
Μάτην δ' ἔχω βοείην·

Τί γὰρ βάλωμεν ἔξω,
Μάχης ἔσω μιγείσης;

ΕΙΣ ΤΟ ΑΦΘΟΝΩΣ ΖΗιΝ.

Οὔ μοι μέλει Γύγαο,
Τοῦ Σαρδίων ἄνακτος,
Οὔθ' αἱρέει με χρυσὸς,
Οὐδὲν φθονῶ τυράννοις.
'Εμοὶ μέλει μύροισι
Καταβρέχειν ὑπήνην·
'Εμοὶ μέλει ῥόδοισι
Καταςέφειν κάρηνα·
Τὸ σήμερον μέλει μοι·
Τὸ δ' αὔριον τίς οἶδεν;

ΕΙΣ ΤΟ ΔΕΙΝ ΠΙΝΕΙΝ.

— Ὡς οὖν ἔτ' εὐδί' ἐςὶ
Καὶ πῖνε καὶ κύβευε,
Καὶ σπένδε τῷ Λυαίῳ,
Μὴ νοῦσος, ἤν τις ἔλθῃ,
Λέγῃ, Μέθες τὸ πίνειν!

ΕΙΣ ΕΑΥΤΟΝ.

Σὺ μὲν λέγεις τὰ Θήβης,
Ὁ δ' αὖ Φρυγῶν ἀϋτὰς,
Ἐγὼ δ' ἐμὰς ἁλώσεις.
Οὐχ ἵππος ὤλεσέν με,
Οὐ πεζὸς, οὐχὶ νῆες,
Στρατὸς δὲ καινὸς ἄλλος,
Ἀπ' ὀμμάτων βαλών με.

ΕΙΣ ΠΟΤΗΡΙΟΝ ΑΡΓΥΡΟΥΝ.

Τὸν ἄργυρον τορεύσας,
Ἥφαιςέ, μοι ποίησον
Πανοπλίαν μὲν οὐχί·
Τί γὰρ μάχαισι κἀμοί;
Ποτήριον δὲ κοῖλον,
Ὅσον δύνῃ, βαθύνας.
Ποίει δέ μοι κατ' αὐτὸ
Μήτ' ἄςρα, μήθ' ἅμαξαν,
Μὴ ςυγνὸν Ὠρίωνα·
Τί Πλειάδων μέλει μοι,
Τί δ' ἀςέρος Βοώτεω;
Ποίησον ἀμπέλους μοι
Καὶ βότρυας κατ' αὐτῶν,
Καὶ Μαινάδας τρυγώσας·
Ποίει δὲ ληνὸν οἴνου,
Καὶ χρυσέους πατοῦντας
Ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα καὶ Βάθυλλον.

ΕΙΣ ΟΜΟΙΟΝ ΤΙ.

Καλλιτέχνα, τόρευσον
Ἔαρος κύπελλον ἡδὺ,
Τῆς πρῶτα τέρενά γ' ἡμῖν
Τὰ ῥόδα φερούσης Ὥρας·
Τἀργύριον δ' ἁπλώσας,
Τερπνὸν ποίει πότον μοι.
Τῶν τελετῶν παροίνων
Μή τι ξένον τορεύσῃς,
Μὴ φευκτὸν ἱζόρημα·
Μᾶλλον ποίει Διὸς γοῦν,
Βάκχον Εὔϊον, ἡμῖν,
Μύςιν ὁμοῦ τε Κύπριν,
Ὑμεναίοισι κρατοῦσαν·
Ἀνόπλους χάρασσ' Ἔρωτας,
Καὶ Χάριτας γελώσας,
Κ' ἄμπελον εὐπέτηλον,
Εὐβότρυον, κομῶσαν,

Σὺν εὐπρεπεῖς δὲ κούρους,
Ἅμα Φοῖβος οἷς ἀθύροι.

ΕΙΣ ΤΟ ΔΕΙΝ ΠΙΝΕΙΝ.

Ἡ γῆ μέλαινα πίνει,
Πίνει δὲ δένδρε' αὐτήν·
Πίνει θάλασσ' ἀναύρους,
Ὁ δ' ἥλιος θάλασσαν,
Τὸν δ' ἥλιον σελήνη·
Τί μοι μάχεσθ', ἑταῖροι,
Καὐτῷ θέλοντι πίνειν;

ΕΙΣ ΚΟΡΗΝ.

Ἡ Ταντάλου ποτ' ἔςη
Λίθος Φρυγῶν ἐν ὄχθαις,
Καὶ παῖς ποτ' ὄρνις ἔπτη
Πανδίονος, χελιδών·
Ἐγὼ δ' ἔςοπτρον εἴην,
Ὅπως ἀεὶ βλέπης με·
Ἐγὼ χιτὼν γενοίμην,
Ὅπως ἀεὶ φορῇς με·
Ὕδωρ θέλω γενέσθαι,
Ὅπως σὲ χρῶτα λούσω·
Μύρον, γύναι, γενοίμην,
Ὅπως ἐγώ σ' ἀλείψω·
Καὶ ταινίη δὲ μαςῶν,
Καὶ μάργαρον τραχήλῳ,
Καὶ σάνδαλον γενοίμην,
Μόνον ποσὶν πατεῖσθαι.

ΕΙΣ ΕΑΥΤΟΝ.

Δότε μοι, δότ', ὦ γυναῖκες,
Βρομίου πιεῖν ἀμυςί·
Ὑπὸ καύματος γὰρ ἤδη
Πυρόεις ἀναςενάζω.
Δότε δ' ἀνθέων ἐκείνων,
Στεφάνοισιν ὡς πυκάζω
Τὰ μέτωφ', ἅ μοι 'πικαίει.
Τὸ δὲ καῦμα τῶν Ἐρώτων,
Κραδίη, τίνι σκεπάζω;

ΕΙΣ ΒΑΘΥΛΛΟΥ ΣΚΙΗΝ.

Παρὰ τὴν σκιὴν Βαθύλλου
Καθίσω. καλὸν τὸ δένδρον,
Ἁπαλὰς δ' ἔσεισε χαίτας
Μαλακωτάτῳ κλαδίσκῳ·
Παρὰ δ' αὐτῷ τερετίζει
Πηγὴ ῥέουσα Πειθοῦς.
Τίς ἂν οὖν ὁρῶν παρέλθοι
Καταγώγιον τοιοῦτο;

ΕΙΣ ΧΡΥΣΟΝ.

Ὁ πλοῦτος εἴ γε χρυσοῦ
Τὸ ζῆν παρῆγε θνητοῖς,
Ἐκαρτέρουν φυλάσσων,
Ἵν', ἂν θάνατος ἐπέλθῃ,
Λάβῃ τι καὶ παρέλθῃ.
Εἰ δ' οὖ τι που πρίασθαι
Τὸ ζῆν ἔνεςι θνητοῖς,
Τί καὶ μάτην ςενάζω;
Τί καὶ γόους προπέμπω;
Ἐμοὶ γένοιτο πίνειν,
Πιόντι δ' οἶνον ἡδὺν,
Ἐμοῖς φίλοις συνεῖναι,
Ἁπαλαῖσιν ἔν τε κοίταις
Τελεῖν τιν' ἀφροδίταν.

ΕΙΣ ΕΑΥΤΟΝ.

Ἐπειὴ βροτός γ' ἐτέχθην
Βιότου τρίβον πολεύειν,
Χρόνον, ὃν παρῆλθον, ἔγνων,
Ὃν ἔχω δραμεῖν δ' οὐκ οἶδα.
Μέθετε δὲ, Φροντίδες, με·
Μηδὲν ἐμοίγε χ' ὑμῖν!
Πρὶν τὸ τέλος φθάσῃ με,
Παίξω, γελάσω, χορεύσω
Μετὰ τοῦ καλοῦ Λυαίου.

ΕΙΣ ΕΑΥΤΟΝ.

Ὅταν πίω τὸν οἶνον,
Εὕδουσιν αἱ μέριμναι.
Τί μοι πόνων, τί μόχθων,
Τί μοι μέλει μεριμνῶν;
Θανεῖν με δεῖ, κᾂν μέλλω·
Τί δὲ τὸν βίον πλανῶμαι;

ΠΑΡΟΙΝΙΟΝ.

Ὁ Βάκχος ὅταν ἐσέλθῃ,
Εὕδουσιν αἱ μέριμναι.
Δοκῶν δ' ἔχειν τὰ Κροίσου,
Θεὸν καλόν τ' ἀείδω,
Κισσοστεφής τε κεῖμαι,
Πατῶ δ' ἅπαντα θυμῷ.
Ὁπλίζ' ἐγὼ δὲ πίνω.
Φέρε μοι κύπελλον, ὦ παῖ·
Μεθύοντα γάρ με κεῖσθαι
Πολὺ κρεῖσσον, ἢ θανόντα.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Δῖος ὁ παῖς, ὁ βάκχος,
Ὁ λυσίφρων, Λύαιος,
Ὅταν ἐς φρένας τὰς σεμνὰς
Ἐςέλθῃ μεθυδώτας,
Διδάσκει με χορεύειν.
Ἔχω δὲ καὐτὸ τερπνὸν,
Ὁ τᾶς μέθας ἐραςάς·
Μετὰ κρότων, μετ' ᾠδᾶς,
Τέρπει με κ' Ἀφροδίτα,
Ἁπαλωτέρως χορεύειν.

ΕΙΣ ΤΗΝ ΕΑΥΤΟΥ ΕΤΑΙΡΑΝ.

Ἄγε, ζωγράφων ἄριστε,
Γράφε ζωγράφων ἄριστε,
Τεχνοκοίρανε ῥόδειε,
Ἀπεοῦσαν, ὡς ἂν εἴπω,
Γράφε τὴν ἐμὴν ἑταίρην.
Γράφε μοι τρίχας τὸ πρῶτον
Ἁπαλάς τε καὶ μελαίνας·
Ὁ δὲ κηρὸς ἂν δύνηται,
Γράφε καὶ μύρου πνεούσας.
Γράφε δ' ἐξόχους παρειὰς,
Ὑπὸ πορφυραῖς δὲ χαίταις
Ἐλεφάντινον μέτωπον.
Τὸ μεσόφρυον δὲ μή μοι
Διάκοπτε, μήτε μίσγε,
Ἐχέτω δ', ὅπως ἐκείνη,
Τὸ λεληθότως σύνοφρυ,
Βλεφάρων δ' ἴτυν κελαίνην.
Τὸ δὲ βλέμμα νῦν ἀληθῶς

Ἀπὸ τοῦ πυρὸς ποίησον,
Ἅμα γλαυκὸν, ὡς Ἀθήνης,
Ἅμα δ' ὑγρὸν, ὡς Κυθήρης.
Γράφε ῥῖνα καὶ παρειὰς,
Ῥόδα τῷ γάλακτι μίξας.
Γράφε χεῖλος, οἷα Πειθοῦς,
Προκαλούμενον φίλημα.
Τρυφεροῦ δ' ἔσω γενείου,
Περὶ λυγδίνῳ τραχήλῳ,
Χάριτες πέτοιντο πᾶσαι.
Στόλισον τὸ λοιπὸν αὐτὴν
Ὑποπορφύροισι πέπλοις·
Διαφαινέτω δὲ σαρκῶν
Ὀλίγον, τὸ σῶμ' ἐλέγχον.
Ἀπέχει· βλέπω γὰρ αὐτήν.
Τάχα, κηρὲ, καὶ λαλήσεις.

ΕΙΣ ΒΑΘΥΛΛΟΝ.

Γράφε μοι Βάθυλλον οὕτω,
Τὸν ἑταῖρον, ὡς διδάσκω.
Λιπαρὰς κόμας ποίησον,
Τὰ μὲν ἔνδοθεν μελαίνας,
Τὰ δ' ἐς ἄκρον ἡλιώσας·
Ἕλικας δ' ἐλευθέρους μοι
Πλοκάμων, ἄτακτα συνθεὶς,
Ἄφες, ὡς θέλωσι, κεῖσθαι.
Ἁπαλὸν δὲ καὶ δροσῶδες
Στεφέτω μέτωπον ὀφρὺς
Κυανωτέρη δρακόντων.
Μέλαν ὄμμα γοργὸν ἔςω,
Κεκερασμένον γαλήνῃ·
Τὸ μὲν ἐξ Ἄρηος ἕλκον,
Τὸ δὲ τῆς καλῆς Κυθήρης,
Ἵνα τις τὸ μὲν φοβῆται,
Τὸ δ' ἀπ' ἐλπίδος κρεμᾶται.
Ῥοδίνην δ', ὁποῖα μῆλον,

Χνοΐην ποίει παρειήν·
Ἐρύθημά θ' ὡς ἂν Αἰδοῦς
(Δύνασαι) πάλιν ποίησον.
Τὸ δὲ χεῖλος οὐκ ἔτ' οἶδα
Τίνι μοι τρόπῳ ποιήσεις....
Ἁπαλὸν, γέμον τε Πειθοῦς...
Τὸ δὲ πᾶν, ὁ κηρὸς αὐτὸς
Ἐχέτω λαλῶν σιωπῇ.
Μετὰ δὲ πρόσωπον ἔςω,
Τὸν Ἀδώνιδος παρελθὼν,
Ἐλεφάντινος τράχηλος.
Μεταμάζιον δὲ ποίει,
Δίδυμάς τε χεῖρας Ἑρμοῦ,
Πολυδεύκεος δὲ μηρούς,
Διονυσίην δὲ νηδύν.
Ἁπαλῶν δ' ὕπερθε μηρῶν,
Μαλερὸν τὸ πῦρ ἐχόντων,
Ἀφελῆ ποίησον αἰδῶ,
Παφίην θέλουσαν ἤδη.
Φθονερὴν ἔχεις δὲ τέχνην,
Ὅτι μὴ τὰ νῶτα δεῖξαι

Δύνασαι· τὰ δ' ἦν ἀμείνω.
Τί πόδας με δεῖ διδάσκειν;
Λάβε μισθὸν, ὅσσον εἴπῃς.
Τὸν Ἐνηβόλον δὲ τοῦτον
Καθελὼν, ποίει Βάθυλλον.
Ὅτε δ' ἐς Σάμον ποτ' ἔλθῃς,
Γράφε Φοῖβον ἐκ Βαθύλλου.

ΕΙΣ ΕΡΩΤΑ.

Αἱ Μοῦσαι τὸν Ἔρωτα
Δήσασαι ςεφάνοισι
Τῷ Κάλλει παρέδωκαν.
Καὶ νῦν ἡ Κυθέρεια
Ζητεῖ, λύτρα φέρουσα,
Λύσασθαι τὸν Ἔρωτα.
Κἂν λύσῃ δέ τις αὐτὸν,
Οὐκ ἔξεισι, μενεῖ δέ·
Δουλεύειν δεδίδακται.

ΕΙΣ ΕΑΥΤΟΝ.

Ἄφες με· τῶς δεήσει
Πιεῖν, πιεῖν ἀμυςί!
Θέλω, θέλω μανῆναι.
Ἐμαίνετ' Ἀλκμαίων τε,
Χ' ὁ λευκόπους Ὀρέςης,
Τὰς μητέρας κτανόντες·
Ἐγὼ δὲ, μηδένα κτὰς,
Πιὼν δ' ἐρυθρὸν οἶνον,
Θέλω, θέλω μανῆναι.
Ἐμαίνεθ' Ἡρακλῆς πρὶν,
Δεινὴν κλονῶν φαρέτρην,
Καὶ τόξον Ἰφίτειον·
Ἐμαίνετο πρὶν Αἴας,
Μετ' ἀσπίδων κραδαίνων
Τὴν Ἕκτορος μάχαιραν·
Ἐγὼ δ' ἔχων κύπελλον,
Οὐ τόξον, οὐ μάχαιραν,
Θέλω, θέλω μανῆναι.

ΕΙΣ ΤΟΥΣ ΕΑΥΤΟΥ ΕΡΩΤΑΣ.

Εἰ φύλλα πάντα δένδρων
Ἐπίςασαι κατειπεῖν,
Εἰ κύματ' οἶδας εὑρεῖν
Τὰ τῆς ὅλης θαλάσσης,
Σὲ τῶν ἐμῶν Ἐρώτων
Μόνον ποιῶ λογιςήν.
Πρῶτον μὲν ἐξ Ἀθηνῶν
Ἔρωτας εἴκοσιν θὲς,
Καὶ πεντεκαίδεκ'. ἄλλους.
Ἔπειτα δ' ἐκ Κορίνθου
Θὲς ὁρμαθοὺς Ἐρώτων·
Ἀχαΐης γάρ ἐςιν,
Ὅπου καλαὶ γυναῖκες.
Τίθει δὲ Λεσβίους μοι,
Καὶ μέχρι τῶν Ἰώνων,
Καὶ Καρίης, Ῥόδου τε,
Δισχιλίους Ἔρωτας.
Τί φῄς; ἄνευ κόρου θές·

Οὔπω Σύρους ἔλεξα,
Οὔπω Πόθους Κανώβου,
Οὐ τῆς ἅπαντ' ἐχούσης
Κρήτης, ὅπου πόλεσσιν
Ἔρως ἐποργιάζει.
Τί σοι θέλεις ἀριθμῶ
Τοὺς ἐκτὸς ἂν Γαδείρων,
Τοὺς Βακτρίων τε κ' Ἰνδῶν,
Ψυχῆς ἐμῆς Ἔρωτας;

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Σὺ μὲν, φίλη χελιδὼν,
Ἐτησίη μολοῦσα,
Θέρει πλέκεις καλιὴν,
Χειμῶνι δ' εἷς ἄφαντος
Ἢ Νεῖλον ἢ 'πὶ Μέμφιν·
Ἔρως δ' ἀεὶ πλέκει μευ
Ἐν καρδίῃ καλιήν·
Πόθος δ' ὁ μὲν πτεροῦται,
Ὁ δ' ὠὸν ἐςιν ἀκμὴν,
Ὁ δ' ἡμίλεπτος ἤδη·
Βοὴ δὲ γίγνετ' αἰεὶ
Κεχηνότων νεοσσῶν·
Ἐρωτιδεῖς δὲ μικροὺς
Οἱ μείζονες τρέφουσιν·
Οἱ δὲ τραφέντες εὐθὺς
Πάλιν κύουσιν ἄλλους.
Τί μῆχος οὖν γένηται;

Οὐ γὰρ σθένω 'ς τοσούτους
Ἔρωτας ἐκποιῆσαι.

ΕΙΣ ΚΟΡΗΝ.

Μή με φύγῃς ὁρῶσα
Τὰν πολιὰν ἔθειραν,
Μηδ', ὅτι σοι πάρεςιν
Ἄνθος ἀκμαῖον ὥρας,
Τὼς ἐμὰ φίλτρ' ἀδοξῇς.
Ὅρα, κἀν ςεφάνοισιν
Ὅπως πρέπει τὰ λευκὰ
Ῥόδοις κρίνα πλακέντα.

ΕΙΣ ΓΡΑΦΗΝ.

Ὁ ταῦρος οὗτος, ὦ παῖ,
Ζεύς μοι δοκεῖ τις εἶναι·
Φέρει γὰρ ἀμφὶ νώτοις
Σιδωνίην γυναῖκα·
Περᾷ δὲ πόντον εὐρὺν,
Τέμνει δὲ κῦμα χηλαῖς·
Οὐκ ἂν δὲ ταῦρος ἄλλος
Ἐξ ἀγέλης ἐλασθεὶς
Ἔπλευσε τὴν θάλασσαν,
Εἰ μὴ μόνος γ' ἐκεῖνος.

ΕΙΣ ΤΟ ΑΝΕΙΜΕΝΩΣ ΖΗΝ.

Τί με τοὺς νόμους διδάσκεις,
Καὶ ῥητόρων ἀνάγκας;
Τί δέ μοι λόγων τοσούτων,
Τῶν μηδὲν ὠφελούντων;
Μᾶλλον δίδασκε πίνειν
Ἁπαλὸν πῶμα Λυαίου·
Μᾶλλον δίδασκε παίζειν
Μετὰ χρυσῆς Ἀφροδίτης.
Πολιοὶ κάρα ςέφουσι·
Βάλ' ὕδωρ, δὸς οἶνον, ὦ παῖ,
Ψυχὴν δέ μοι κάρωσον,
Βραχὺ μὴν ζῶντι κ' ἀλύπως!
Ὁ θανὼν δ' οὐκ ἐπιθυμεῖ.

ΕΙΣ ΤΟ ΕΑΡ.

Ἴδε πῶς, ἔαρος φανέντος,
Χάριτες ῥόδα βρύουσιν!
Ἴδε πῶς νῆσσα κολυμβᾷ!
Ἴδε πῶς γέρανος ὁδεύει!
Ἴδε πῶς κῦμα θαλάσσης
Ἁπαλύνεται γαλήνῃ!
Ἀφελῶς δ' ἔλαμψε Τιτάν·
Νεφελῶν σκιαὶ δονοῦνται·
Τὰ βροτῶν δ' ἔλαμψεν ἔργα·
Καρπὸς γαίας προκύπτει,
Καρπὸς ἄλιος προκύπτει·
Κατάφυλλος, κατάκλωνος,
Καθόλων ἤνθισ' ἀταρπός·
Βρομίου ϛεφέσθω νᾶμα!

ΕΙΣ ΕΑΥΤΟΝ.

Ἐγὼ γέρων μέν εἰμι,
Νέων πλέον δὲ πίνω·
Κἂν δέῃ με χορεύειν,
Σκῆπτρον ἔχω τὸν ἀσκόν·
Ὁ νάρθηξ δ' οὐδέν ἐςιν.
Ὁ μὲν θέλων μάχεσθαι,
Παρέςω καὶ μαχέσθω.
Ἐμοὶ κύπελλον, ὦ παῖ,
Μελιχρὸν οἶνον ἡδὺν
Ἐγκεράσας, φόρησον·
Ἐγὼ γέρων μὲν, οἶμαι,
Σειληνὸν ἐν μέσοισι
Μιμούμενος χορεύσω.

ΕΙΣ ΕΑΥΤΟΝ.

Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Τότε μευ ἰανθὲν ἦτορ
Μούσας ἀρετᾷ λιγαίνειν.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Ἀπορίπτεται μέριμνα,
ΠολυΦροντίδες τε βουλαὶ,
Ἐς ἁλικτύπους ἀήτας.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον
Δυςδαίμων, τότε Βάκχος
Πολυανθέσιν μ' ἐν ὥραις
Δονέει, μέθῃ γανώσας.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
ΣτεΦάνους ἄνθεσι πλέξας,
Ἐπιθεὶς δὲ τῷ καρήνῳ,
Βιότου μέλπω γαλήνην.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Μύρῳ εὐώδεϊ τέγξας
Δέμας, ἀγκάλαις δὲ κούρην

Κατέχων, Κύπριν ἀείδω.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Ὑπὸ κυρτοῖσι κυπέλλοις
Τὸν ἐμὸν νόον γ' ἁπλώσας,
Θιάσῳ τέρπομαι κούρων.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Τόδε μοι μόνον τὸ κέρδος,
Τόδ' ἐγὼ λαβὼν ἀποίσω·
Τὸ θανεῖν γὰρ μετὰ πάντα.

ΕΙΣ ΕΡΩΤΑ.

Ἔρως ποτ᾽ ἐν ῥόδοισι
Κοιμωμένην μέλιτταν
Οὐκ εἶδεν, ἀλλὰ, τρώμῃ
Τὸν δάκτυλον παταχθεὶς
Τᾶς χειρὸς, ὠλόλυξε.
Δραμὼν δὲ καὶ πετασθεὶς
Πρὸς τὴν καλὴν Κυθήρην,
Ὄλωλα, μῆτερ, εἶπεν,
Ὄλωλα κἀποθνήσκω·
Ὄφις μ᾽ ἔτυψε μικρὸς
Πτερωτὸς, ὃν καλοῦσι
Μέλισσαν οἱ γεωργοί.
Ἡ δ᾽ εἶπεν· Εἰ τὸ κέντρον
Πονεῖ τὸ τᾶς μελίττας,
Πόσον, δοκεις, πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;

ΕΙΣ ΣΥΜΠΟΣΙΟΝ.

Ἱλαροὶ πίωμεν οἶνον,
Ἀναμέλψομεν δὲ Βάκχον,
Τὸν ἐφευρετὰν χορείας,
Τὸν ὅλως ποθοῦντα μολπὰς,
Τὸν ὁμότροπόν γ᾽ Ἔρωτι,
Τὸν ἐρώμενον Κυθήρης,
Δι᾽ ὃν ἡ Μέθη λοχεύθη,
Δι᾽ ὃν ἡ Χάρις δ᾽ ἐτέχθη,
Δι᾽ ὃν ἀμπαύεται Λύπα,
Δι᾽ ὃν εὐνάζετ᾽ Ἀνία.
Τὸ μὲν οὖν πῶμα κερασθὲν
Ἁπαλοὶ φέρουσι παῖδες·
Τὸ δ᾽· ἄχος πέφευγε μιχθὲν
Ἀνεμοστρόφῳ θυέλλῃ.
Τὸ μὲν οὖν πῶμα λάβωμεν,
Φροντίδας δὲ μεθῶμεν·
Τί γὰρ ἐστί σοι τὸ κέρδος
Ὀδυνωμένῳ μερίμναις;

Πόθεν οἴδαμεν τὸ μέλλον;
Ὁ βίος βροτοῖς ἄδηλος.
Μεθύων θέλω χορεύειν,
Μεμυρισμένος δὲ παίζειν,
Μετὰ καγχασμῶν, γυναῖκας.
Μελέτω δὲ τοῖς θέλουσιν
Ὅσον ἐςὶν ἐν μερίμναις.

ΕΙΣ ΕΑΥΤΟΝ.

Ποθέω μὲν Διονύσου
Φιλοπαίγμονος χορείας·
Φιλέω δ', εὖτ' ἂν ἐφήβου
Μετὰ συμπότου λυρίζω.
Στεφανίσκους δ' ὑακίνθων
Κροτάφοισιν ἀμφιπλέξας,
Μετὰ παρθένων ἀθύρειν
Φιλέω μάλιστα πάντων.
Φθόνον οὐκ οἶδ' ἐμὸν ἦτορ,
Φθόνον οὐκ οἶδα δαΐκτην,
Φιλολοιδόροιο γλώσσης
Φεύγω βέλεμνα κωφὰ,
Στυγέω μάχας παροίνους
Πολυκώμους κατὰ δαῖτας·
Νεοθηλέσιν ἅμα κούραις,
Ὑπὸ βαρβίτῳ χορεύων,
Βίον ἥσυχον φέροιμι.

ΕΙΣ ΤΕΤΤΙΓΑ.

Μακαρίζομέν σε, τέττιξ,
Ὅτι δενδρέων ἐπ' ἄκρων,
Ὀλίγην δρόσον πεπωκὼς,
Βασιλεὺς ὅπως, ἀείδεις·
Σὰ γάρ ἐςι κεῖνα πάντα,
Χ' ὁπόσα βλέπεις ἐν ἀγροῖς,
Χ' ὁπόσα φέρουσιν ὗλαι.
Σὺ δὲ φίλιος γεωργῶν,
Ἀπὸ μηδενός τι βλάπτων·
Σὺ δὲ τίμιος βροτοῖσι,
Θέρεος γλυκὺς προφήτης·
Φιλέουσι μέν σε Μοῦσαι,
Φιλέει δὲ Φοῖβος αὐτὸς,
Λιγυρὴν δ' ἔδωκεν οἴμην·
Τὸ δὲ γῆρας οὔ σε τείρει.
Σοφὲ, γηγενὴς, φίλυμνε,
Ἀπαθὴς, ἀναιμόσαρκε,
Σχεδὸν εἶ θεοῖς ὅμοιος.

ΕΙΣ ΤΟ ΕΑΥΤΟΥ ΟΝΕΙΡΟΝ.

Ἐδόκουν ὄναρ τροχάζειν,
Πτέρυγας φέρων ἐπ' ὤμων·
Ὁ δ' Ἔρως ἔχων μόλυβδον
Περὶ τοῖς καλοῖς ποδίσκοις
Ἐδίωκε καὶ κίχανε.
Τί ὄναρ θέλει τόδ' εἶναι;
Δοκέω δ' ἔγωγε πολλοῖς
Ἐν Ἔρωσί με πλακέντα,
Διολισθανεῖν ἐν ἄλλοις,
Ἑνὶ τῷδε συνδεθῆναι.

ΕΙΣ ΤΑ ΤΟΥ ΕΡΩΤΟΣ ΒΕΛΗ.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης,
Παρὰ Λημνίαις καμίνοις,
Τὰ βέλη τὰ τῶν Ἐρώτων
Ἐποίει λαβὼν σίδηρον·
Ἀκίδας δ' ἔβαπτε Κύπρις,
Μέλι γλυκερὸν λαβοῦσα·
Ὁ δ' Ἔρως χολὴν ἔμισγεν.
Ὁ δ' Ἄρης ποτ' ἐξ ἀϋτῆς
Στιβαρὸν δόρυ κραδαίνων,
Βέλος ηὐτέλιζ' Ἔρωτος·
Ὁ δ' Ἔρως, τόδ' ἐςὶν, εἶπε,
Βαρύ· πειράσας νοήσεις.
Ἔλαβεν βέλεμνον Ἄρης·
Ὑπεμειδίασε Κύπρις.
Ὁ δ' Ἄρης ἀναςενάξας,
Βαρὺ, φησίν· ἆρον αὐτό.
Ὁ δ' Ἔρως, ἔχ' αὐτὸ, φησί.

ΕΙΣ ΕΡΩΤΑ.

Χαλεπὸν τὸ μὴ φιλῆσαι,
Χαλεπὸν δὲ καὶ φιλῆσαι,
Χαλεπώτερον δὲ πάντων
Ἀποτυγχάνειν φιλοῦντα.
Γένος οὐδὲν εἰς Ἔρωτα·
Σοφίη, τρόπος, πατεῖται·
Μόνον ἄργυρον βλέπουσιν.
Ἀπόλοιτο πρῶτος οὗτος
Ὁ τὸν ἄργυρον φιλήσας!
Διὰ τοῦτον οὐκ ἀδελφὸς,
Διὰ τοῦτον οὐ τοκῆες,
Πόλεμοι, φόνοι δι' αὐτὸν,
Τὸ δὲ χεῖρον, ὀλλύμεσθα
Διὰ τοῦτον οἱ φιλοῦντες.

ΕΙΣ ΓΕΡΟΝΤΑ.

Φιλῶ γέροντα τερπνὸν,
Φιλῶ νέον χορευτάν·
Γέρων δ' ὅταν χορεύῃ,
Τρίχας γέρων μέν ἐςι,
Τὰς δὲ φρένας νεάζει.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Ὁ τὸν ἐν πόνοις ἀτειρῆ
Νέον, ἐν πόθοις ἀταρβῆ,
Καλὸν ἐν πότοις χορευτὴν
Τελέων θεὸς κατῆλθεν,
Ἁπαλὸν βροτοῖσι φίλτρον,
Πότον ἄρτιον κομίζων,
Γόνον ἀμπέλου, τὸν οἶνον,
Πεπεδημένων ἐπῳδῆς
Ἐπὶ κλημάτων φυλάσσων,
Ἵν', ὅταν τάμωσι βότρυν,
Ἄνοσοι μένωσι πάντες,
Ἄνοσοι δέμας θεητὸν,
Ἄνοσοι γλυκύν τε θυμὸν,
Ἐς ἔτους φανέντος ἄλλου.

ΕΙΣ ΔΙΣΚΟΝ ΕΧΟΝΤΑ ΑΦΡΟΔΙΤΗΝ.

Κράτης τόρευσε πόντον,
Κράτης, μανεὶς ἀτεχνῶς,
Ἀνέχευε κῦμα δίσκου
Ἐπὶ νῶτα τῆς θαλάσσης,
Κράτης δ' ὑπὲρ θάλασσαν
Ἁπαλὰν χάραξε Κύπριν,
Νόον ἐς θεοὺς ἀερθεὶς,
Μακάρων φύσιν δ' ἐςαθρῶν.
Ὁ δέ νίν γ' ἔδειξε γυμνάν·
Ὅσα μὴ θέμις δ' ὁρᾶσθαι,
Μόνα κύμασιν καλύπτει.
Ἀλαλημένη δ' ἐπ' αὐτὸ
Βρύον, ὡς ὕπερθε λευκὸν,
Ἁπαλόχροος γαλήνας,
Ῥόθιον πάροιθεν ἕλκει.
Ῥοδέων δ' ὕπερθε μαζῶν,
Ἁπαλῆς τ' ἔνερθε δειρῆς,
Μέγα κῦμα πρῶτα τέμνει.

Μέσον αὔλακος δὲ Κύπρις,
Κρίνον ὣς ἴοις ἑλιχθὲν,
Διαφαίνεται γαλήνας.
Ὑπὲρ ἀργύρῳ δ' ὀχοῦνται
Ἐπὶ δελφίσιν χορευταῖς,
Δολερὸν νόον μέροψιν,
Ἔρος Ἵμερός τ', ἔχοντες.
Χορὸς ἰχθύων δὲ κυρτὸς,
Ἐπὶ κυμάτων κυβιςῶν,
Παφίης τὸ σῶμα παίζει,
Ἵνα νήχεται γελῶσα.

ΕΠΙΛΗΝΙΟΣ ῼΔΗ.

Κελαινόχρωτα βότρυν
Ταλάροις φέροντες ἄνδρες,
Μετὰ παρθένων, ἐπ᾽ ὤμων,
Μόνον ἄρσενες πατοῦσι,
Σταφυλὴν λύοντες οἴνου,
Μέγα τὸν θεὸν κροτοῦντες
Ἐπιληνίοισιν ὕμνοις,
Ἐρατὸν πίθοις ὁρῶντες,
Νέον ἐκζέοντα Βάκχον,
Ὃν ὅταν πίῃ γεραιὸς,
Τρομεροῖς ποσὶν χορεύει,
Πολιὰς τρίχας τινάσσων.
Ὁ δὲ, παρθένον λοχήσας,
Ἐρατὸς νέων ἐλυσθεὶς,
Ἁπαλὸν δέμας χυθεῖσαν
Σκιερῶν ὕπερθε φύλλων,
Βεβαρημένην ἐς ὕπνον
(Ὁ δ᾽ Ἔρως ἄωρα θέλγων

Προδότιν γάμων γενέσθαι),
Ὀτὲ μὴ λόγοισι πείθων,
Τότε μὴ θέλουσαν ἄγχει·
Μετὰ γὰρ νέων. ὁ Βάκχος
Μεθύων ἄτακτα παίζει.

ΕΙΣ ΡΟΔΟΝ.

Στεφανηφόρου μετ᾽ ἦρος
Ῥόδα μέλπομαι. τέρειναν,
Συνέταιρ᾽, ἄεξε μολπήν!
Τόδε γὰρ θεῶν ἄημα,
Τόδε καὶ βροτοῖσι χάρμα,
Χάρισιν δ᾽ ἄγαλμ᾽ εὐώροις,
Ἀφροδίσιόν τ᾽ ἄθυρμα,
Χαρίεν φυτόν τε Μουσῶν·
Τόδε καὶ μέλημα μύσαις
Πολυανθέων Ἐρώτων,
Γλυκὺ καὶ ποιοῦντε πεῖραν
Ἐν ἀκανθίναις ἀταρποῖς,
Γλυκὺ δ᾽ αὖ, λαβόντα θαλπνὸν
Μαλακαῖσι χερσὶ κούρων
Προσάγειν Ἔρωτος ἄνθος.
Ἀσόφῳ τόδ᾽ αὐτὸ τερπνὸν
Θαλίαισι κ᾽ εὐτραπέζοις,
Διονυσίοις θ᾽ ἑορταῖς.

Τί δ' ἄνευ ῥόδου γένοιτ' ἄν;
Ῥοδοδάκτυλος μὲν Ἠὼς,
Ῥοδοπήχεες δὲ Νύμφαι,
Ῥοδόχρους δὲ κ' Ἀφροδίτα
Παρὰ τῶν σοφῶν καλεῖται.
Τόδε καὶ νόσοισιν ἀρκεῖ,
Τόδε καὶ νεκροῖς ἀμύνει,
Τόδε καὶ χρόνον βιᾶται·
Χαρίεν ῥόδῳ δὲ γῆρας
Νεότητος ἔσχεν ὀδμήν.
Φέρε δὴ Φύσιν λέγωμεν·
Χαροπῆς ὅτ' ἐκ θαλάσσης
Δεδροσωμένην Κυθήρην
Ἐλόχευε Πόντος ἀφρῷ,
Πολεμόκλονόν τ' Ἀθήνην
Κορυφῆς ἐδείκνυε Ζεὺς,
Φοβερὴν θέαν Ὀλύμπῳ,
Τότε καὶ ῥόδων ἀγητῶν
Νέον ἔρνος ἤνθισε Χθὼν,
Πολυδαίδαλον λόχευμα·
Μακάρων θεῶν δ' ὅμιλος,

Ῥόδον ὡς γάνοιτο, νέκταρ
Ἐπίτεγξε, κἀνέτειλεν
Ἀγέρωχον ἐξ ἀκάνθης
Φυτὸν ἄμβροτον Λυαίου.

ΕΙΣ ΕΑΥΤΟΝ.

Ὅτ' ἐγὼ νέων ὅμιλον
Ἐσορῶ, πάρεστιν ἥβα·
Τότε δὴ, τότ' ἐς χορείην
Ὁ γέρων ἐγὼ πτεροῦμαι,
Παρ' ἀμείνοσιν κυβεύων.
Παράδος· θέλω στέφεσθαι.
Πολιὸν δ' ἑκὰς τὸ γῆρας·
Νέος ἐν νέοις χορεύσω.
Διονυσίης δέ μοι τὶς
Φερέτω ῥοὴν ὀπώρης,
Ἵν' ἴδῃ γέροντος ἀλκὴν,
Δεδαηκότος μὲν εἰπεῖν,
Δεδαηκότος δὲ πίνειν,
Χαρίεντά τ' ἐκμανῆναι.

ΕΙΣ ΕΡΩΝΤΑΣ.

Ἐν ἰσχίοις μὲν ἵπποι
Πυρὸς χάραγμ' ἔχουσι,
Καὶ Παρθίους τις ἄνδρας
Ἐγνώρισεν τιάραις·
Ἐγὼ δὲ τοὺς ἐρῶντας
Ἰδὼν ἐπίςαμ' εὐθύς·
Ἔχουσι γάρ τι λεπτὸν
Ψυχῆς ἔσω χάραγμα.

ΕΙΣ ΕΑΥΤΟΝ.

Πολιοὶ μὲν ἡμὶν ἤδη
Κρόταφοι, κάρη δὲ λευκὸν,
Χαρίεσσα δ᾽ οὐκ ἔθ᾽ ἥβη·
Πάρα γηραλέῳ ᾽νδιδόντι,
Γλυκεροῦ δ᾽ οὐκ ἔτι πολλὸς
Βιότου χρόνος λέλειπται.
Διὰ ταῦτ᾽ ἂν ἀςαλύζω
Θαμὰ, Τάρταρον δεδοικώς·
᾽Αΐδεω γὰρ ἔςι δεινὸς
Μυχὸς, ἀργαλέη δ᾽ ἐς αὐτὸν
Κάθοδος, καὶ γὰρ ἕτοιμον
Καταβάντι μὴ ᾽ναβῆναι.

ΕΙΣ ΤΟ ΠΙΝΕΙΝ.

Ἄγε δὴ, φέρ' ἡμὶν, ὦ παῖ,
Κελέβην, ὅκως ἄμυςιν
Προπίω. Τὰ μὲν δέκ' ἔγχει
Ὕδατος, τὰ πέντε δ' οἴνου
Κυάθοις! ὕβριςιν ὥραν
Ἀναδεύων, βασσαρήσω.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀκέσιτε, μηδ' ἔθ' οὕτω
Πατάγῳ τε κἀλαλητῷ
Σκυθικὴν πόσιν, πάροινοι,
Μελετῶμεν, ἀλλὰ καλοῖς
Ὑποπίνοντες ἐν ὕμνοις.

ΕΙΣ ΑΗΔΟΝΑ.

* * * * * * *

Τὸν Ἔρωτα γὰρ τὸν ἁβρὸν
Μέλπει, βρύοντα μίτραις
Πολυανθέμοις, ἀηδών.
Ὅδε καὶ θεῶν δυνάστης,
Ὅδε καὶ βροτοὺς δαμάζει....

* * * * * * *

ΕΙΣ ΑΡΤΕΜΙΝ.

Γουνοῦμαί σ', ἐλαφηβόλε,
Ξανθὴ, παῖ Διὸς, ἀγρίων
Δέσποιν', Ἄρτεμι, θηρῶν.
Ἵκου νῦν ἐπὶ Ληθαίου
Δίνῃσι, θρασυκαρδίων
Ἀνδρῶν δ' εὖ καθόρα πόλιν
Χαίρουσ'· οὐ γὰρ ἀνημέρους
Ποιμαίνεις πολιήτας.

ΕΙΣ ΚΟΡΗΝ.

Πῶλε Θρηκίη, τί δή με,
Λοξὸν ὄμμασι βλέπουσα,
Νηλέως φεύγεις, δοκεῖς δὲ
Μ' οὐδὲν εἰδέναι σοφόν;

Ἴσθι τοὶ, καλῶς μὲν ἄν σοι
Τὸν χαλινὸν ἐμβάλοιμι,
Ἡνίας δ' ἔχων ςρέφοιμι
Ἀμφὶ τέρματα δρόμου.

Νῦν δὲ λειμῶνάς τε βόσκει,
Κοῦφά τε σκιρτῶσα παίζεις·
Δεξιὸν γὰρ ἱπποπείρην
Οὐκ ἔχεις ἐπεμβάτην.

ΕΙΣ ΘΕΟΥΣ ΕΡΩΤΙΚΟΥΣ.

Θεῶν ἄνασσα, Κύπρι,
Κράτος, Ἵμερε, χθονηρῶν,
Γάμε, βιότοιο φύλαξ,

Ὑμέας λόγοις λιγαίνω,
Ὑμέας ςίχοις κυδαίνω,
Γάμον, Ἵμερον, Παφίην.

ΕΙΣ ΜΥΡΙΛΛΑΝ.

Στρατόκλεις, φίλε Κυθερείας,
Στρατόκλεις, ἄνερ Μυρίλλης,
Ἴδε τὴν φίλην γυναῖκα!
Κομάει, τέθηλε, λάμπει!
Ῥόδον ἀνθέων ἀνάσσει·
Ῥόδον ἐν κόραις Μύριλλα.

ΑΝΘΗ ΚΑΤ' ΕΡΩΤΟΣ.

Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ,
Φέρε δ' ἀνθεμεῦντας ἡμῖν
Στεφάνους! ἔνεικον! ὡς μὴν
Πρὸς Ἔρωτα πυκταλίζω.

---

* * * * * *
Ἅτε νεβρὸν νεοθηλέα,
Γαλαθηνὸν, ὅστ' ἐν ὕλῃ
Κεροέσσης ἀπολειφθεὶς
Ὑπὸ μητρὸς ἐπτοήθη.

Ἐπὶ δ' ὀφρύσιν σελίνων
Στεφανίσκους θέμενοι, νῦν,
Θαλίᾳ, θάλειαν ἑορτὴν
Ἀγάγωμεν Διονύσῳ!

ΕΙΣ ΠΑΙΔΑ.

Ὦ παῖ παρθένιον βλέπων,
Δίζημαί σε, σὺ δ' αΐεις
Οὐκ, εἰδὼς, ὅτι τῆς ἐμῆς
Ψυχῆς ἡνιοχεύεις.

ΠΡΟΣ ΠΑΙΔΑ ΠΕΡΙ ΚΟΡΗΣ ΘΕΟΥΣΗΣ.

Δέρκεο τὴν νεᾶνιν, δέρκεο, κοῦρε!
Ἔργεο, μή σε φύγῃ πέρδικος ἄγρα!
Ἠέλιος τὰ σέθεν δέμνια φαίνει.
Κυπρίδιος πεφύγει σοί γ' ἐνὶ κήπῳ.

ΕΙΣ ΕΑΥΤΟΝ ΠΕΡΙ ΠΑΙΔΩΝ.

Ἐμὲ γὰρ λόγων ἕνεκα
Οἱ παῖδες ἂν φιλοῖεν·
Χαρίεντα μὲν γὰρ ᾄδω,
Χαρίεντα δ' οἶδα λέξαι.

ΕΙΣ ΕΑΥΤΟΝ.

Μεγάλῳ δ' ηὖτέ μ' Ἔρως ἔκοψεν, ὥστε χαλκεὺς,
Πελέκει, χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ.

Οὐ φίλος, ὃς κρατῆρι παρὰ πλέῳ οἰνοποτάζων
Νείκεα καὶ πόλεμον δακρυόεντα λέγει,
Ἀλλ' ὅστις, Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
Συμμίσγων, ἐρατῆς μνήσκεται εὐφροσύνης.

ΣΑΠΦΟΥΣ
ΛΕΙΨΑΝΑ.

ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

Ποικιλόθρον', ἀθάνατ' Ἀφροδίτα,
Παῖ Διὸς δολοπλόκε, λίσσομαί τε,
Μή με τεχῖσι μή μ' ἀνίαισι δάμνα,
Πότνια, θῦμον,
Ἀλλὰ τυῖδ' ἔλθ', αἴ ποτε κἀτερῶτα
Τᾶς ἐμᾶς αὔδας αἴοισα πολλὺ
Ἔκλυες, πατρὸς δὲ δόμον λιποῖσα,
Χρύσεον ἦλθες
Ἅρμ' ὑποζεύξασα, καλοὶ δέ τ' ἆγον
Ὠκέες ςροῦθοι περὶ γᾶς μελαίνας
Πυκνὰ δινῦντες πτέρ' ἀν' αὖραν, αἰθέ-
ρος διὰ μέσσω·

Αἶψα δ' ἐξίκοντο· τὺ δ', ὦ μάκαιρα,
Μειδιάσασ' ἀθανάτῳ προςώπῳ
Ἤρε', ὅττι γ' ἦν τὸ πέπονθα κ' ὅττι
Δή τε κάλημι,
Κὄττι μοι μάλις' ἐθέλω γενέσθαι
Μαινόλᾳ θύμῳ. τίνα δ' αὖτ' ἀπειθῆ
Τοὶ σαγηνεύσω φιλότατα; τίς τοὶ,
Σαπφοῖ, ἀδευκάς;
Καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει·
Αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει·
Αἰ δὲ μὴ φιλεῖ, ταχέως φιλάσει,
Κεἶ κεν ἀθέλλοις.
Ἐλθέ μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
Ἐκ μεριμνᾶν, ὅσσα δέ μοι τελέσσαι.
Θῦμος ἱμέῤῥει, τέλεσον, τὺ δ' αὐτὰ
Σύμμαχος ἔσσο.

ΕΙΣ ΚΟΡΗΝ.

Φαίνεταί μοι κῆνος ἴσος θεοῖσιν
Ἔμμεν ὠνὴρ, ὅςτις ἐναντίος τοι
Ἰσδάνει, καὶ πλασίον ἁδὺ φωνεί-
σας ὑπακούει,
Καὶ γελοίσας ἱμερόεν, τό μοι τὰν
Καρδίαν ἐν ςήθεσιν ἐπτόασεν·
Ὡς ἴδον τε, βρόγχον ἐμοὶ γὰρ αὐδᾶς
Οὐδὲν ἔτ' ἴκει,
Ἀλλὰ καμμὲν γλῶσσά τ' ἔαγε, λεπτὸν
Τ' αὐτίκα χρῷ πῦρ ὑποδεδρόμακεν,
Ὀππάτεσσιν δ' οὐδὲν ὄρημι, βομβεῦ-
σιν δ' ἀκοαί μοι·
Καδδ' ἴδρὼς ψυχρὸς χέεται, τρόμος δὲ
Πᾶσαν ἀγρεῖ, χλωροτέρα δὲ ποίας
Ἐμμὶ, τεθνάκην δ' ὀλίγω δέοισα
Φαίνομαι ἄπνους.
Ἀλλὰ πᾶν τολματὸν, ἐπεὶ πένητα
• • • • • • • •

Γλυκεῖα μᾶτερ, οὔ τι
Δύναμαι κρέκειν τὸν ἱςὸν,
Πόθῳ δαμεῖσα παιδὸς
Βραδινὰν δι' Ἀφροδίταν.

Δέδυκε μὲν ἁ σελάνα
Καὶ Πληϊάδες, μέσας δὲ
Νυκτὸς παραπέρχετ' ὥρα·
Ἐγὼ δὲ μόνα καθεύδω.

ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

Ἐλθὲ χρυσέαισι, Κύπρι,
Ἐνὶ κυλίκεσσιν ἀβροῖς
Μεμιγμένον θαλίαισι
Τὸ νέκταρ οἰνοχοεῦσα
Τούτοις ἐμοῖς γε καὶ σοῖς!

ΕΠΙΓΡΑΜΜΑΤΑ.

Τῷ γριπεῖ Πελάγωνι πατὴρ ἀνέθηκε Μενίσκος
Κύρτον καὶ κώπαν, μνᾶμα κακοζωΐας.

Τιμάδος ἅδε κόνις, τὰν δὴ πρὸ γάμοιο θανοῖσαν
Δέξατο Φερσεφόνας κυάνεος θάλαμος,
Ἇς καὶ ἀποφθιμένας πᾶσαι νεοθᾶγι σιδάρῳ
Ἅλικες ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.

ΗΡΙΝΝΗΣ

ΛΕΙΨΑΝΑ.

ΕΙΣ ΤΗΝ ΡΩΜΗΝ.

Χαῖρέ μοι, Ῥώμα, θυγάτηρ Ἄρηος,
Χρυσέῳ μίτρᾳ, δαΐφρων ἄνασσα,
Σεμνὸν ἃ ναίεις ἐπὶ γᾶς Ὄλυμπον
Αἰὲν ἄθραυστον.
Σοὶ μόνᾳ πρεσβίστα δέδωκε Μοῖρα
Κῦδος ἀῤῥήκτω βασιλῆον ἀρχᾶς,
Ὄφρα κοιρανῆον ἔχοισα κάρτος
Ἁγεμονεύῃς.
Σᾷ δ' ὑπὸ σδεύγλᾳ κρατερῶν λεπάδνων
Στέρνα γαίας καὶ πολιᾶς θαλάσσας
Σφίγγεται, σὺ δ' ἀσφαλέως κυβερνᾷς
Ἄστεα λαῶν.

Πάντα δὲ σφάλλων ὁ μέγιςος αἰὼν,
Καὶ μεταπλάσσων βίον ἄλλοτ' ἄλλως,
Σοὶ μόνᾳ πλησίςιον οὖρον ἀρχᾶς
Οὐ μεταβάλλει.
Ἦ γὰρ ἐκ πάντων σὺ μόνα κρατίςους
Ἄνδρας αἰχματὰς μεγάλως λοχεύεις,
Εὔςαχυν Δάματρος ὅπως συνοίσῃς
Καρπὸν ἀπ' ἀνδρῶν.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

ΕΙΣ ΒΑΥΚΙΔΑ, ΤΗΝ ΜΙΤΥΛΗΝΑΙΑΝ.

Στᾶλαι καὶ Σειρῆνες ἐμαὶ, καὶ πένθιμε κρωσσὲ,
Ὅστις ἔχεις Ἀΐδα τὰν ὀλίγαν σποδιὰν,
Τοῖς ἐμὸν ἐρχομένοισι παρ' ἠρίον εἴπατε χαίρην,
Αἴτ' ἀςοὶ τελέθοντ', αἴθ' ἑτεροπτόλιες,
Χὤτι με νύμφαν εὖσαν ἔχει τάφος· εἴπατε καὶ τὸ,
Ὅττι πατήρ μ' ἐκάλει Βαυκίδα, χὤτι γένος
Τήνω εὐγενὲς ἐντὶ, καὶ ὅττι μοι ἁ συνεταιρὶς
Ἤρινν' ἐν τύμβῳ γράμμ' ἐχάραξε τόδε.

ΕΙΣ ΒΑΥΚΙΔΑ, ΕΝ ΤΩι ΘΑΛΑΜΩι ΤΕΛΕΥΤΗΣΑΣΑΝ.

Νύμφας Βαυκίδος ἐμμί· πολυκλαύταν δὲ παρέρπων
Στάλαν, τῷ κατὰ γᾶς τοῦτο λέγοις Ἀΐδᾳ·
ΒΑΣΚΑΝΟΣ ΕΣΣ', ΑΙΔΑ. τὰ δέ τοι καλά μευ ποθορῶντι
Σάματα τὰν Βαυκοῦς ἀγγελέοντι τύχαν,
Ὡς τὰν παῖδ' Ὑμέναιος ὑφ' ἇς δόμον ἄγετο πεύκας,
Τᾶδ' ἐπὶ καδεςὰς ἔφλεγε πυρκαϊᾶς.
Καὶ σὺ μὲν, ὦ Ὑμέναιε, γάμων μολπαῖαν ἀοιδὰν
Ἐς θρήνων γοερὸν φθέγμα μεθηρμόσαο.

ΒΑΣΙΛΙΟΥ ΠΑΡΟΙΝΙΟΝ.

Δότε μοι λύρην Ὁμήρου
Φονίης ἄνευθε χορδῆς!
Φέρε, παῖ, κύπελλ' ἀθέσμως,
Φέρε μοι! νόμους κεράσσω,
Ὑπὸ σώφρονος δὲ λύσσης
Μετὰ βαρβίτων ἀείδων
Τὸ παροίνιον βοήσω.

ΕΠΙΓΡΑΜΜΑ ΕΙΣ ΑΝΑΚΡΕΟΝΤΑ.

Ω ξένε, τόνδε τάφον τὸν Ἀνακρείοντος ἀμείβων,
Σπεῖσόν μοι παριών· εἰμὶ γὰρ οἰνοπότης.

ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΙΟΥ.

Πολλάκι μὲν τόδ' ᾄεισα, καὶ ἐκ τύμβου δὲ βοήσω·
Πίνετε, πρὶν ταύτην ἀμφιβάλησθε κόνιν.

ΕΚ ΤΩΝ ΑΛΚΑΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

1.

Τέγγε πνεύμονας οἴνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται,
Ἁ δ' ὥρα χαλεπὰ, πάντα δὲ διψᾷ ὑπὸ καύματος.

2.

Μηδὲν ἄλλο φυτεύσῃς πρότερον δένδρεον ἀμπέλω.

ϛ.

Οὐ χρὴ κακοῖσι θυμὸν ἐπιτρέπειν·
Προκόψομεν γὰρ οὐδὲν, ἀσάμενοι,
'Ω Βακχί· φάρμακον δ' ἄριςον
Οἶνον ἐνεικαμένοις μεθύσθαι.

ΕΚ ΤΩΝ ΒΑΚΧΥΛΙΔΟΥ.

1. Παροίνιον.

Γλυκεῖ' ἀνάγκα σευομένα κυλίκων
Θάλπησι θυμὸν, Κύπριδος
Δ' ἐλπὶς αἰθύσσει φρένας,
'Αναμιγνυμένα Διονυσίοισι δώροις,
'Ανδράσι δ' ὑψοτάτω πέμπει μερίμνας.
Καί τις μὲν πόλεων κρήδεμνα λύει,
Πᾶσι μοναρχήσειν δ' ἀνθρώποις δοκεῖ,
Χρυσῷ δ' ἐλέφαντί τε μαρμαροῦσιν οἶκοι·
Πυροφόροι δὲ κατ' αἰγλήεντα νῆες
"Αγουσ' ἀπ' Αἰγύπτου μέγιστον
Πλοῦτον, πίοντος ὁρμαίνειν κέαρ.

2. Εἰς Εἰρήνην.

Τίκτει δέ τε θνατοῖσιν
Εἰρήνα μεγάλα, πλοῦτον,
Καὶ μελιγλώσσων ἀοιδῶν
Ἄνθεα, δαιδαλέων τ' ἐπὶ βωμῶν
Θεοῖσιν αἴθεται βοῶν
Ξανθᾷ φλογὶ μηρί', εὐτρίχων τε μήλων.
Γυμνασίων τε νέοις
Αὐλῶν τε καὶ κώμων μέλει.
Ἐν δὲ σιδαροδέτοισι πόρπα-
ξιν αἰθᾶν ἀραχνᾶν ἱςοὶ πέλονται·
Ἔγχεά τε λογχωτὰ ξίφεά τ' ἀμφάκα δάμναται
εὐρώς.
Χαλκέων δ' οὐκ ἔτι σαλπίγγων κτύπος,
Οὐδὲ συλᾶται μελίφρων
Ὕπνος ἀπὸ βλεφάρων,
Ἀμὸν ὃς θάλπει κέαρ·
Συμποσίων δ' ἐρατῶν βρίθοντ' ἀγυιαὶ,
Παιδικοί θ' ὕμνοι φλέγονται.

3. Εἰς ἑαυτόν.

Οὐ βοῶν πάρεςι σώματ', οὔτε χρυσὸς,
Οὔτε πορφύρεοι τάπητες,
Ἀλλὰ θυμὸς εὐμενὴς,
Μοῖσά τε γλυκεῖα,
Καὶ Βοιωτίοισιν ἐν σκύφοισιν
Οἶνος ἡδύς.

ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ ΑΙΣΜΑΤΑ ΠΑΡΟΙΝΙΑ Η ΣΚΟΛΙΑ.

Πιττάκου Μιτυληναίου.

Ἔχοντα τόξον κ' ἰοδόκον φαρέτραν δεῖ ςείχειν ποτὶ φῶτα κακόν·
Πιςὸν γὰρ οὐδὲν γλῶσσα δίςομος λαλεῖ,
Διχόμυθόν γ' ἔχουσα κραδίῃ νόημα.

Ἀδέσποτον.

— Ἐκ γῆς χρὴ κατιδεῖν πλόον,
Εἴ τις δύναιτο καὶ παλάμην ἔχοι,
Ἐπὴν δὲ κὴν πόντῳ γένηται,
Τῷ παρεόντι τρέχειν ἀνάγκη.

Καλλιςρατου ᾆσμα εἰς Ἁρμόδιον καὶ Ἀριςογείτονα.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
Ὥςπερ Ἁρμόδιος κ' Ἀριςογείτων,
Ὅτε τὸν τύραννον κτανέτην,
Ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

Φίλταθ' Ἁρμόδι', οὔ τι που τέθνηκας,
Νήσοις δ' ἐν μακάρων σέ φασιν εἶναι,
Ἵνα περ, ποδώκης, σ', Ἀχιλεὺς,
Τυδείδην τε φασὶν Διομήδεα.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
Ὥσπερ Ἁρμόδιος κ' Ἀριςογείτων,
Ὅτ' Ἀθηναίης ἐν θυσίαις
Ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

Ἀεὶ σφῷν κλέος ἔσσεται κατ' αἶαν,
Φίλταθ' Ἁρμόδιος κ' Ἀριςογείτων,
Ὅτι τὸν τύραννον κτάνετον,
Ἰσονόμους τ' Ἀθήνας ἐποιήσατον.

Ἀδέσποτον εἰς Πᾶνα.

Ὦ Πὰν, Ἀρκαδίας μέδων κλεεννᾶς,
Ὀρχηςὰ, Βρομίαις ὀπαδὲ Νύμφαις,
Γελάσειας, ὦ Πὰν, ἐπ' ἐμαῖς
Εὐφροσύναις ἀοιδαῖς κεχαρημένος.

Σιμωνίδου.

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ·
Δεύτερον δὲ, φυὰν καλὸν γενέσθαι·
Τρίτον δὲ, πλουτεῖν ἀδόλως·
Καὶ τὸ τέταρτον, ἡβᾷν μετὰ τῶν φίλων.

Τιμοκρέοντος Ῥοδίου εἰς Πλοῦτον.

Ὤφελές γ', ὦ τυφλὲ Πλοῦτε,
Μήτε γῇ, μήτ' ἐν θαλάσσῃ,
Μήτ' ἐν ἠπείρῳ φανῆναι,
Ἀλλὰ Τάρταρόν τε ναίειν
Κἀχέροντα· διὰ σὲ γὰρ
Πάντ' ἐν ἀνθρώποις κάκ' ἐστί.

Ἀδέσποτον εἰς Παλλάδα.

Παλλὰς Τριτογένει', ἄνασσ' Ἀθηνᾶ,
Ὄρθου τήνδε πόλιν τε καὶ πολίτας,
Ἄτερ ἀλγέων καὶ στάσεων
Καὶ θανάτων ἀώρων, σύ τε καὶ πατήρ!

Ἀδέσποτον εἰς τὰς μεγάλας θεάς.

Πλούτου μητέρας, Ὀλυμπίαν, ἀείδω,
Δήμητρα, στεφανηφόροις ἐν ὥραις,
Σέ τε, παῖ Διὸς, Περσεφόνη.
Χαίρετον, εὖ δὲ τήνδ' ἀμφέπετον πόλιν!

Ἀδέσποτον.

Ἐν Δήλῳ ποτ' ἔτικτε τέκνα Λατὼ,
Φοῖβον χρυσοκόμαν, ἄνακτ' Ἀπόλλω-
ν', ἐλαφηβόλον τ' ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν μέγ' ἔχει κράτος.

Πραξίλλης Σικυωνίας.

Ἀδμήτου λόγον, ὦ 'ταῖρε, μαθὼν, τοὺς ἀγα-
θοὺς φίλει,
Τῶν δειλῶν δ' ἀπέχου, γνοὺς, ὅτι δειλοῖς ὀλί-
γη χάρις.

Ἀδέσποτα.

Ὑπαὶ παντὶ λίθῳ σκορπίος, ὦ 'ταῖρ', ὑποδύεται·
Φράζευ μή σε βάλῃ. τῷ δ' ἀφανεῖ πᾶσ' ἕπεται
δόλος.

Ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλην ἔχει
Τιμὴν ἔν τε βροτοῖς, ἔν τε θεοῖσιν, κατ' ἐμὸν
νόον.

Παροίνιον.

Ἔγχευσον κώθωνι, διάκονε, μηδ' ἐπιλήθου,
Εἰ δὴ χρὴν ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.

Ὅμοιον.

Σύν μοι πῖνε, συνήβα, συνέρα, συνςεφανηφόρει,
Σύν μοι μαινομένῳ μαίνεο, σὺν σώφρονι σωφρόνει.

Εἴθε λύρα καλὴ
Γενοίμην ἐλεφαντίνη,
Καί με καλοὶ παῖδες φοροῖεν
Διονύσιον ἐς χορόν.

Εἴθ' ἄπυρον καλὸν
Γενοίμην μέγα χρυσίον,
Καί με καλὴ γυνὴ φοροίη,
Καθαρὸν θεμένη νόον.

῞Α γ' ὗς τὰν βάλανον τὰν μὲν ἔχει, τὰν δ' ἔρα-
ται λαβεῖν·
Κἀγὼ παῖδα καλὴν τὰν μὲν ἔχω, τὰν δ' ἔρα-
μαι λαβεῖν.

Εἴθ' ἐξῆν, ὁποῖός τις ἦν ἕκαςος,
Τὸ ςῆθος διελόντ', ἔπειτα τοίνυν
'Εςιδόντα, κλείσαντα πάλιν,
῎Ανδρα φίλον νομίζειν ἀδόλῳ φρενί!

Ὑβρίου Κρητός.

Ἔςιν ἐμοὶ πλοῦτος μέγα δόρυ, καὶ ξίφος,
Καὶ λαισήϊον, πρόβλημα χρωτός.
Τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω,
Τούτῳ πατέω τὸν ἁδὺν
Οἶνον ἀπ' ἀμπέλω,
Τούτῳ δεσπότας μνοίας κέκλημαι.
Τοὶ δὲ μὴ τολμῶντες ἔχειν
Δόρυ καὶ τὸ καλὸν λαισήϊον,
Πάντες γόνυ, πεπτηότες,
Ἐμοὶ κυνέοντες δεσπόταν
Καὶ βασιλέα μέγαν φωνέοντι.

Ἀρίφρονος Σικυωνίου εἰς Ὑγίειαν.

Ὑγίεια, πρεσβίς᾽ ὦ μακάρων, μετὰ σεῦ
Ναίοιμι τὸ λειπόμενον βιοτᾶς,
Σὺ δ᾽ ἐμοὶ πρόφρων σύνοικος εἴης·
Εἰ γάρ τις ἢ πλούτου χάρις,
Ἢ τεκέων, τᾶς ἰσοδαίμονός
Τ᾽ ἀνθρώποις βασιλῆδος ἀρχᾶς,
Ἢ πόθων, κρυφίοισιν οὓς
Ἀφροδίτης ἄρκυσι θηρεύομεν,
Εἰ δέ τις ἄλλα
Θεόθεν ἀνθρώποισι τέρψις,
Ἢ πόνων ἀναπνοὰ πέφανται,
Μετὰ σεῖο, μάκαιρ᾽ Ὑγίεια,
Τέθηλε πάντα,
Καὶ λάμπει Χαρίτων ἔαρ·
Σέθεν δὲ χωρὶς οὔ τις εὐδαίμων.

Ἀριςοτέλους παιὰν εἰς τὴν Ἀρετήν.

Ἀρετὰ πολύμοχθε γένει βροτείῳ,
Θήραμα κάλλιςον βίῳ,
Σᾶς περὶ, παρθένε, μορφᾶς
Καὶ θανεῖν ζαλωτὸς ἐν Ἑλλάδι πότμος,
Καὶ πόνους τλῆναι μαλεροὺς ἀκάμαντας·
Τοῖον ἐπὶ φρέν' ἔρωτα βάλλεις,
Καρπὸν φέρεις τ' ἀθάνατον,
Χρυσοῦ τε κρέσσω καὶ γονέων,
Μαλακωτάτοιό θ' ὕπνου.
Σεῦ δ' ἕνεχ' ὁυκ Διὸς Ἡρακλέης,
Λήδας τε κόροι πόλλ' ἀνέτλασαν,
Δύναμίν γ' ἔργοις ἀγορεύοντες,
Σοῖς τε πόθοις Ἀχιλλεὺς,
Αἴας τ' Ἀΐδαο δόμους ἦλθον·
Σᾶς φιλίου δ' ἕνεκεν μορφᾶς Ἀταρνέως
Ἔντροφος ἀελίου χήρευσεν αὐγᾶς.
Τοιγὰρ ἀοίδιμον ἀθάνατόν τέ μιν
Ἔργοισιν αὐξήσουσι Μοῦσαι,

Μναμοσύνας θύγατρες,
Ξενίου Διὸς σέβας σεβίζου-
σαι, Φιλίας τε γέρας βεβαίου.

Σιμωνίδων ἄλλα τινὰ λείψανα.

Βιοτῆς μὲν γὰρ χρόνος ἐστι βραχύς·
Κρυφθεὶς δ' ὑπὸ γῆς κεῖται θνητὸς
Τὸν ἅπαντα χρόνον.

Ποιήματος περὶ Δανάης καὶ Περσέως λείψανον.

Ὅττε λάρνακι δαιδαλείᾳ
Ἄνεμός τ' ἐμπεσὼν, κινηθεῖσά τε
Λίμνα δείματι ἤριπεν,
Οὐκ ἀδιάντοισι παρειαῖς
Ἀμφί τε Περσεῖ βάλλε φίλαν χέρα,
Εἶπέν τ'· ὦ τέκος, οἷον ἔχω πόνον!
Σὺ δ' ἀωτεῖς, γαλαθηνῷ
Τ' ἤτορι κνώσσεις ἐν ἀτερπεῖ
Δώματι χαλκογόμφῳ, νυκτιλαμπεῖ,
Κυανέῳ τε δνόφῳ·
Σὺ δ' αὐαλέαν ὕπερθε
Τεὰν κόμαν βαθεῖαν
Παριόντος κύματος οὐκ ἀλέγεις,
Οὔτ' ἀνέμου φθόγγων, πορφυρέᾳ
Κείμενος ἐν χλανίδι πρόσωπον καλόν.
Εἴθε σοὶ δεινὸν τό γε δεινὸν ἦν,
Ἄκικυν δ' ἐμῷ ῥήματι
Ἐπεῖχες οὔας!

Κέλομαι δ', εὖδε, βρέφος, εὑδέτω δὲ
Πόντος, εὑδέτω ἄμετρον κακόν!
Μεταβουλία δέ τις φανείη,
Ζεῦ πάτερ, ἐκ σέθεν· ὅτι δὴ θαρσαλέον
Ἔπος εὔχομαι τεκνόφιν δίκας μοι.

Σιμωνίδου τοῦ Ἀμοργίνου, ὡς εἰκάσαι, ποίημα περὶ γυναικῶν.

Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον
Τὰ πρῶτα. τὴν μὲν ἐξ ὑὸς τανύτριχος·
Τῇ πάντ' ἂν οἶκον βορβόρῳ πεφυρμένα
Ἄκοσμα κεῖται, καὶ κυλινδεῖται χαμαί·
Αὐτὴ δ' ἄλουτος, ἄπλυτός τ' ἐν εἵμασιν,
Ἐν κοπρίῃσιν ἡμένη πιαίνεται.
Τὴν δ' ἐξ ἀλιτρῆς θεὸς ἔθηκ' ἀλώπεκος
Γυναῖκα, πάντων ἴδριν, οὐδέ μιν κακῶν
Λέληθεν οὐδὲν, οὐδὲ τῶν ἀμεινόνων·
Τὸ μὲν γὰρ αὐτῆς ἐςι πολλάκις κακὸν,
Τὸ δ' ἐσθλόν· ὀργὴν δ' ἄλλοτ' ἀλλοίην ἔχει.
Τὴν δ' ἐκ κυνὸς λιτουργὸν, αὐτομήτορα,
Ἣ πάντ' ἀκοῦσαι, πάντα δ' εἰδέναι θέλει,
Πάντη δὲ παπταίνουσα καὶ πλανωμένη
Λέληκεν, ἢν καὶ μηδέν' ἀνθρώπων ὁρᾷ.
Παύσειε δ' ἄν μιν οὔτ' ἀπειλήσας ἀνὴρ,
Οὔτ', εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ

'Οδόντας, οὐδ' ἂν μειλίχως μυθεύμενος,
Οὐδ' εἰ παρὰ ξείνοισιν ἡμένη τύχοι,
'Αλλ' ἐμπεδῶς ἄπρηκτον αυονὴν ἔχει.
Τὴν δὲ πλάσαντες γηΐνην 'Ολύμπιοι,
"Εδωκαν ἀνδρὶ πηρόν· οὔτε γὰρ κακὸν,
Οὔτ' ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνὴ,
"Εργον δὲ μοῦνον ἐσθίειν ἐπίςαται·
Κοὔτ', ἂν κακὸν χειμῶνα ποιήσῃ θεὸς,
'Ριγῶσα δίφρον ἆσσον ἕλκεται πυρός.
Τῇ δ' ἐκ θαλάσσης ἐν φρεσίν γ' ἤθη νέμει,
Τῇ μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρῃ
(Κ' ἐπαινέσει μιν ξεῖνος ἐν δόμοις ἰδὼν,
Οὐδ' ἔςιν ἄλλη τῆςδε λωΐων γυνὴ
'Εν πᾶσιν ἀνθρώποισιν, οὐδὲ καλλίων),
Τῇ δ' οὐκ ἀνεκτὸς οὐδ' ἐν ὀφθαλμοῖς ἰδεῖν,
Οὔτ' ἆσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
"Απλητον, ὥςπερ ἀμφὶ τέκνοισιν κύων,
'Αμείλιχος δὲ πᾶσι κἀποθύμιος,
'Εχθροῖσιν ἶσα καὶ φίλοισι, γίγνεται·
"Ωςπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς
"Εςηκ' ἀπήμων, χάρμα ναύτῃσιν μέγα,

Θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται,
Βαρυκτύποισι κύμασιν φορευμένη.
Ταύτῃ μάλις' ἔοικε τοιαύτη γυνὴ
Ὀργὴν, φυὴν δ', ὡς πόντος, ἀλλοίην ἔχει.
Τὴν δ' ἐκ τεφρῆς τε καὶ παλιντριβέος ὄνου,
Ἣ σύν τ' ἀνάγκῃ σύν τ' ἐνιπῆσιν μόγις
Ἔρεξεν ὧν ἅπαντα καὶ πονήσατο
Ἀρεςά. τόφρα δ' ἐσθίει μὲν ἐν μυχῷ
Προνὺξ προῆμαρ, ἐσθίει δ' ἐπ' ἐσχάρῃ·
Ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
Ἐλθόνθ' ἑταῖρον ὀντινοῦν ἐδέξατο.
Τὴν δ' ἐκ γαλῆς, δύςηνον οἰζυρὸν γένος·
Κείνῃ γὰρ οὔτι καλὸν οὐδ' ἐφίμερον
Πρόςεςιν, οὐδὲ τερπνὸν, οὐδ' ἐράσμιον·
Εὐνῆς δ' ἀδηνής ἐςιν ἀφροδισίης,
Τὸν δ' ἄνδρα τὸν συνόντα ναυσίῃ διδοῖ·
Κλέπτουσα δ' ἔρδει πολλὰ γείτονας κακὰ,
Ἄθυςα δ' ἱερὰ πολλάκις κατεσθίει.
Τὴν δ' ἵππος ἁβροχαιτόεσσ' ἐγείνατο,
Ἣ δούλι' ἔργα καὶ δύην παρατρέχει,
Κοὔτ' ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον

Ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι,
Οὔτε πρὸς ἴπνον, ἀσβόλην ἀλευμένη,
Ἵζοιτ', ἀνάγκῃ δ' ἄνδρα ποιεῖται φίλον.
Λοῦται δὲ πάσης ἡμέρης ἀπὸ ῥύπον
Δὶς, ἄλλοτε τρὶς, καὶ μύροις ἀλείφεται.
Ἀεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ,
Βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην.
Καλὸν μὲν οὖν θέημα τοιαύτη γυνὴ
Ἄλλοισι, τῷ δ' ἔχοντι γίγνεται κακὸν,
Ἢν μή τις ἢ τύραννος ἢ σκηπτοῦχος ᾖ,
Ὅςτις τοιούτοις θυμὸν ἀγλαΐζεται.
  Τὴν δ' ἐκ πιθήκου. τοῦτο δὴ διακριδὸν
Ζεὺς ἀνδράσιν μέγιςον ὤπασεν κακόν.
Αἴσχιςα μὲν πρόςωπα, τοιαύτη γυνὴ
Εἶσιν δι' ἄςεος πᾶσιν ἀνθρώποις γέλως,
Κἀπ' αὐχένα βραχεῖα κινεῖται μόγις,
Ἄπυγος, αὐτόκωλος. ἆ τάλας ἀνὴρ,
Ὅςτις κακὸν τοιοῦτον ἀγκαλίζεται!
Δήνεα δὲ πάντα καὶ τρόπους ἐπίςαται,
Ὥςπερ πίθηκος, οὐδέ οἱ γέλως μέλει,
Οὐδ' ἐν γυναιξὶν ἥδεται καθημένη,

Ὅκου λέγουσιν ἀφροδισίους λόγους,
Οὐδ' ἄν τιν' εὖ ῥέξειεν, ἀλλὰ τοῦθ' ὁρᾷ,
Καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
Ὅκως τὶ, χ' ὡς μέγιϛον ἔρξειεν κακόν.
Τὴν δ' ἐκ μελίσσης. τήν τις εὐτυχεῖ λαβών·
Κείνῃ γὰρ οἴῃ Μῶμος οὐ προσιζάνει·
Θάλλει δ' ὑπ' αὐτῆς κἀπαέξεται βίος·
Φίλη δὲ σὺν φιλεῦντι γηράσκει πόσει,
Τεκοῦσα καλὸν κ' οὐνομάκλυτον γένος·
Κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
Πάσῃσι, θείη δ' ἀμφιδέδρομεν χάρις.
Τοίας γυναῖκας ἀνδράσιν χαρίζεται
Ζεὺς τὰς ἀρίϛας καὶ πολυφραδεϛάτας.
Τὰ δ' ἄλλ' ἄφιλα ταῦτα μηχανῇ Διὸς
Ἔϛιν τε πάντα, καὶ παρ' ἀνδράσιν μένει·
Ζεὺς δ' ἄρα μέγιϛον τοῦτ' ἐποίησεν κακὸν,
Καὶ δεσμὸν ἀμφέθηκεν ἀῤῥήκτου πέδης,
Γυναῖκας, αἶτ', ἢν καὶ δοκῶσιν ὠφελεῖν,
Ἔχοντί τῳ μάλιϛα γίγνονται κακόν·
Οὐ γάρ κατ' εὔφρων ἡμέρην διέρχεται
Ἅπασαν, ὅϛτις σὺν γυναικὶ πήγεται,

Οὐδ᾽ αἶψα λιμὸν οἰκίης ἀπώσεται,
Ἐχθρὸν συνοικητῆρα, δυςμενέα θεόν.
Ἀνὴρ δ᾽ ὅταν μάλιςα θυμηδεῖν δοκῇ
Κατ᾽ οἶκον, ἢ θεοῦ μοῖραν, ἢ 'νθρώπου χάριν,
Εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται·
Ὅκου γυνὴ γάρ ἐςιν, οὐδ᾽ ἐς οἰκίαν
Ξεῖνον μολόντα προφρόνως δεχοίατο,
Ἥτις δέ τοι μάλιςα σωφρονεῖν δοκεῖ,
Αὕτη μέγιςα τυγχάνει λωβωμένη,
Κεχηνότος γὰρ ἀνδρός. οἱ δὲ γείτονες
Χαίρουσ᾽ ὁρῶντες καὶ τὸν, ὡς ἁμαρτάνει.
Τὴν ἣν δ᾽ ἕκαςος αἰνέσει μεμνημένος
Γυναῖκα, τὴν δὲ θουτέρου μωμήσεται·
Ἴσην δ᾽ ἔχοντες μοῖραν οὐ γιγνώσκομεν·
Ἐξ οὗ τε τοὺς μὲν Ἀΐδης ἐδέξατο
Γυναικὸς εἵνεκ᾽ ἀμφιδηριωμένους.

Πολλὸς γὰρ ἡμῖν εἰς τεθνάναι χρόνος·
Ζῶμεν δ᾽ ἀριθμῷ παῦρα κακῶς ἔτη.

Γυναικὸς οὐδὲν χρῆμ' ἀνὴρ ληΐζεται
Ἐσθλῆς ἄμεινον, οὐδὲ ῥίγιον κακῆς.

Πάμπαν δ' ἄμωμος οὔ τις, οὐδ' ἀκήριος.

Πλάτωνος τοῦ Φιλοσόφου.

Μῆλον ἐγώ· βάλλει με φιλῶν σέ τις. ἀλλ' ἐπίνευσον,
Ξανθίππη· κᾀγὼ καὶ σὺ μαραινόμεθα.

Ἀλφείου Μιτυληναίου.

Οὐ στέργω βαθυληΐους ἀρούρας,
Οὐκ ὄλβον πολύχρυσον, οἷα Γύγης·
Αὐτάρκους ἔραμαι βίου, Μακρῖνε·
Τὸ ΜΗΔΕΝ γὰρ ΑΓΑΝ ἄγαν με τέρπει.

Παύλου Σιλεντιαρίου εἰς λουτρὸν δίδυμον, ἐν ᾧ λούονται καὶ γυναῖκες καὶ ἄνδρες.

Ἄγχι μὲν ἐλπὶς ἔρωτος· ἑλεῖν δ'-οὐκ ἔςι γυναῖκας·
Εἶρξε πυλὶς Παφίην τὴν μεγάλην ὀλίγη·
Ἀλλ' ἔμπης γλυκὺ τοῦτο· ποθοβλήτοις γὰρ ἐπ' ἔργοις
Ἐλπὶς ἀληθείης ἐςὶ μελιχροτέρη.

Ἀρχιλόχου Παρίου λείψανά τινα.

Εἰμὶ δ᾽ ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος,
Καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

Οὔτε τι γὰρ κλαίων ἰήσομαι, οὔτε κάκιον
Θήσω, τερπωλὰς καὶ θαλίας ἐφέπων.

Τοῖος ἀνθρώποισι θυμὸς, Γλαῦκε Λεπτίνεω πάϊ,
Γίγνεται θνητοῖς, ὁκοίην Ζεὺς ἐφ᾽ ἡμέρην ἄγει,
Καὶ φρονεῦσι τοῖ᾽, ὁκοίοις ἐγκυρέωσιν ἔργμασι.

Θυμὲ, θύμ', ἀμηχάνοισι κήδεσιν κυκώμενε,
Ἀμάδα δυςμενῶν ἀλέξευ, προςβαλὼν ἐναντίον •
Στέρνον, ἐν δοκοῖσιν ἐχθρῶν πλησίον κατασταθεὶς
Ἀσφαλέως. καὶ μήτε νικῶν ἀμφάδην ἀγάλλεο,
Μηδὲ νικηθεὶς ἐν οἴκτῳ καταπεσὼν ὀδύρεο,
Ἀλλὰ χαρτοῖσίν τε χαῖρε, καὶ κακοῖσιν ἀσχάλα
Μὴ λίην, γίγνωσκε δ', οἷος ῥυθμὸς ἀνθρώπους ἔχει.

Ἀλλ' ἄλλος ἄλλῳ καρδίην ἰαίνεται.

— — Νίκης δ' ἐν θεοῖσι πείρατα.

Σόλωνος.

Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

Ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.

Πολλοὶ γὰρ πλουτοῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται·
Ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδόν ἐςι,
Χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

ANNOTATIONES.

METRI ANACREONTEI NOTITIA.

Metra Graecorum et Latinorum cognoscenti nihil antiquius esse debet doctrina de ἰσοχρονίᾳ pedum metricorum, qua pedes ἰσόχρονοι, i. e. aequales numero morarum seu temporum, promiscue usurpantur. Dicitur autem brevis syllaba, qualis est τὸ, unius esse morae, temporis, χρόνου, longa, qualis est τοῦ, duarum morarum: quam rem tam bene callebant veterum aures, ut aequales hoc nomine pedes metrici, etiam qui maxime viderentur inter se diversi, facile pro ἰσοδυνάμοις acciperentur.

In hexametris igitur heroïcis dactylus, spondeus, et in veterrimis poëtis, velut Hesiodo, etiam anapaestus, promiscue adhibentur. Quibus pedibus trochaeum quoque non male adnumeraveris, talem quidem, quem sequatur mora, non literis expressa, sed tantum durans, quantum huic pedi ad integritatem metri dactylici deest, i. e. mora unius temporis, qua vel subintellecta, vel per verbum aut syllabam expressa, habetur pes reliquis illis aequalis, quatuor temporum. Quales morae non in extremis solum metris cogitandae sunt, ubicumque iusta mensura videntur carere, velut cum in fine iambicorum versuum pro iambo usurpatur pyrrhichius, verum in illis quoque versuum generibus, quae vocantur logaoeda, quando fortior numerus in similem debiliorem transit, dactylus in trochaeum, anapaestus in iambum, intellectis moris, qualibus ad explendam iustam metri men-

suram opus est. Neque ab hoc artificio nostrates abhorrent poëtae, velut, Bürger cum canit:

Blandine sah her, Lenardo sah hin,

post vocem *her* mora, quae proprie dicitur, observanda est, i. e. mora unius temporis, ut metrum sibi constet. Similiter in iambicis aequipollent iambus, anapaestus, spondeus, dactylus; in trochaïcis iidem pedes, praeter iambum, pro quo accedit numero trochaeus; in glyconiis polyschematistis diiambus permutatur cum ditrochaeo, dispondeo, antispasto denique; et sic de aliis metris.

Ut autem pedum ἰσοχρόνων alter pro altero ponitur, ita etiam in metris formandis hi potissimum componi solent, ut qui aequabilitatem servent rhythmi: cuius rei exempla aliquot infra protulimus, §§. 1. et 3.

His itaque positis, quae natura sit metri illius, de quo dicendum mihi est, omissis

virorum doctorum de hoc loco litibus, quam brevissime aperiam.

1. Metrum, quod dicitur Anacreonteum, choriambicis adnumerandum est, siquidem constat proprie choriambo dimetro catalectico ἰαμβίζοντι:

— υ υ — υ — υ.

Versus eiusmodi formae passim aliis immiscentur Anacreonteïs, et in odario quidem, cuius initium Μή με φύγῃς, 5 tales continuo sunt positi. De quo metri genere callidissimus veterum grammaticorum metricus, Terentianus Maurus, Putsch. collect. pag. 2439.:

At (inquit) choriambus unus
Praeditus antibaccho
Claudicat, ut priores:

(egerat autem in proxime antecedentibus de iambicis dimetris claudis, quales hi sunt:

Adest celer phaselus.
Memphitides puellae.)

Lex tamen una metri est.
Tinctus colore noctis.
Dabunt malum Metelli.
Inachiae puellae.
Seu bovis ille custos.

Vides, hominem agnoscere ἰσοδυναμίαν harum metri formarum ἰσοχρόνων:

— υ υ — υ — υ

υ — υ — υ — υ

Et sane ubique in melicis Graecorum carminibus non iambicus solum monometer choriambi vicem praestat, cumque eo permutatur, verum etiam antispastus et monometer trochaïcus; iambicus tamen saepius. Quod quidem perspicue videre licet in versu Alcaïco, qui itidem pro choriambico habendus est, constans quippe monometro iambico hypercatalecto (qui ἰσοδύναμος est choriambo hypercatalecto), choriambo puro, et iambico brachycatalecto.

2. Altera igitur metri Anacreontici for-

ma est iambica, quae falso pro prima, imo unica, habetur, quia saepissime reperitur, ut quae modicis, ideoque frequentioribus, qui lyrae conveniunt, affectibus aptissima sit:

υυ — —
υ — υ — υ — υ

Θέλω λέγειν Ἀτρείδας.

Ἰὼ θεῶν παντάρχα.

Sophoclis Oedip. Col. 1054.

Ἔρδουσιν, ἢ μέλλουσιν; ibid. 1044.

Γράφε χεῖλος, οἷα Πειθοῦς,

Προκαλούμενον φίλημα.

Accipit haec, secundum communem metrorum iambicorum regulam, imparibus locis praeter iambum et tribrachum, quem ubique admittit, etiam spondeum, anapaestum et dactylum, et prima quidem regione saepius, tertia vero rarissime, velut in hisce versibus:

Θαλιὰ, θάλειαν ἑορτήν.

(si vera est nostra emendatio:)

Ὃν ἔχω δραμεῖν δ' οὐκ οἶδα.

et dactylum quidem ibi nunquam. Miscentur hae choriambicae et iambicae metri formae Sophoclis Antig. 610. 11.

3. Quo iure autem iambici monometri in choriambicorum locum succedunt, eodem etiam trochaïci monometri, ἰσόχρονοι quippe illi quoque, ut supra dixi, choriambo; unde versus Anacreonteï inveniuntur huiusmodi formae:

— υ — ῡ ῡ — υ

Βάκχον Εὔϊον ἡμῖν.

Ἔσχον ὀργὰν ἄναυδον.

Sophoclis El. 1283. ed. Brunck. cf. 1282.

Annotandum est, ubi puri trochaei iambique adhibentur (ut fieri solet, ne admissis spondeis, — υ — —, — — υ, vis et gratia numeri imminuatur, qua de causa etiam spondeus vitatur loco tertio iambicae formae), similem esse hunc versum Pherecrateo:

Βάκχον Εὔϊον ἡμῖν,

quem item exprimit hoc metrum, quando antispastos usurpat vel puros, vel spondeum tantummodo priore loco adhibentes, iambosque puros:

Αἱ Μοῦσαι τὸν Ἔρωτα
Δήσασαι ςεφάνοισι.

Sic etiam in Phalaeceo metro choriambus permutatur cum trochaïco monometro, siquidem hoc metrum continetur basi, quam vocant, 3 vel 4 temporum (υ —, — υ, — —), choriambo et iambico monometro hypercatalecto, qui ἰσοδυναμεῖ simili choriambo:

Vivamus, mea Lesbia, atque amemus.

Utrisque vero, iambis et trochaeis, choriambi numerus variatur in metro Sapphico, quod pariter atque Alcaïcum et Phalaeceum, e choriambicis est, meritoque inter pulcherrima numeratur.

4. Variationi item studentes, quartam denique metri Anacreontei speciem induxerunt poëtae, antispasticam, ut loco cho-

riambi, vel iambici monometri, vel trochaici monometri, usurparetur antispastus ἰσόχρονος, hisce formis:

υ — — υ υ — υ
Ὅρα, κἂν στεφάνοισιν
— — — υ υ — υ
Αἱ Μοῦσαι τὸν Ἔρωτα

